BYZANTINE GREEK SERIES · VOLUME 18

# Hysmine and Hysminias

Eustathios Makrembolites

# ΤΩΝ ΚΑΘ' ΥΣΜΙΝΗΝ ΚΑΙ ΥΣΜΙΝΙΑΝ ΛΟΓΟΙ ΙΑ΄

*Hysmine and Hysminias*

*With Manasses' Aristandros and Kallithea and Prodromos' Amarantos*

---

with a word-for-word interlinear English translation

preserving the original word order




CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain




Volume 18 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows Isidor Hilberg's edition, Eustathii Macrembolitae protonobilissimi De Hysmines et Hysminiae amoribus libri XI (Vienna, 1876); the fragments of Constantine Manasses' Aristandros and Kallithea in Rudolf Hercher, Erotici scriptores Graeci II (Leipzig, 1859); Theodore Prodromos' Amarantos in Gilbert Gaulmin's edition of Prodromos (Paris, 1625)

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The texts are the editors', with their punctuation and capitals; words Hilberg brackets as interpolated are not printed, an asterisk marks a lacuna, and a dagger a word he leaves as corrupt. Hercher's supplements to Manasses print without their brackets, and the capitals of Gaulmin's type take the breathings it omits. The margins give Hilberg's paragraph numbers within each book and Hercher's verse numbers within each book of Manasses.

# CONTENTS

EUSTATHIOS MAKREMBOLITES

I · The Herald at Aulikomis . . . . . 9
II · The Painted Virtues . . . . . 25
III · The Dream of Eros . . . . . 42
IV · The Painted Months . . . . . 60
V · The Shared Cup . . . . . 86
VI · The Eagle at the Altar . . . . . 109
VII · The Storm at Sea . . . . . 132
VIII · Slave in Daphnepolis . . . . . 153
IX · Rhodope's Maid . . . . . 176
X · The Oracle at Daphnepolis . . . . . 199
XI · The Book of Hysmine . . . . . 222

CONSTANTINE MANASSES

I · Fear, Beauty, and Love . . . . . 247
II · Wine, Envy, and the Slanderer . . . . . 253
III · The Wheel of Fortune . . . . . 260
IV · The Herald of Burdens . . . . . 267
V · Gold and Joy . . . . . 273
VI · Counsel, Jealousy, and Tears . . . . . 278
VII · The Bow and the Mean . . . . . 283
VIII · Dreams and Misfortune . . . . . 287
IX · Man the Plaything of Fortune . . . . . 291

THEODORE PRODROMOS

I · The Late Arrival . . . . . 301
II · Amarantos . . . . . 306
III · The Philosopher's Sermon . . . . . 310
IV · The Contract . . . . . 315
V · The Feast . . . . . 321
VI · The Debate on Marriage . . . . . 325

EUSTATHIOS MAKREMBOLITES

# ΤΩΝ ΚΑΘ' ΥΣΜΙΝΗΝ ΚΑΙ ΥΣΜΙΝΙΑΝ ΛΟΓΟΙ ΙΑ΄

*Hysmine and Hysminias*

## I · THE HERALD AT AULIKOMIS

*At the Diasia the lot in Eurykomis falls on Hysminias, who is crowned with laurel and sent as sacred herald to Aulikomis. The city receives him like a god, and Sosthenes wins him as guest and shows him a garden of cypress, myrtle, and vine around a well of many-colored stone, where a gilded eagle and bronze birds spout water. At dinner Sosthenes' daughter Hysmine pours the wine, presses his foot and finger, and holds back his cup, and her mother Panthia rages; at night Hysmine washes and kisses his feet. Hysminias only laughs, and his friend Kratisthenes says the girl loves him and calls him a fool for asking what loving back is.*

Πόλις Εὐρύκωμις καὶ τἆλλα μὲν ἀγαθή, ὅτι καὶ θαλάσσῃ 1
*city Eurykomis also the-rest indeed good because both by-sea*
στεφανοῦται καὶ ποταμοῖς καταρρεῖται καὶ λειμῶσι κομᾷ
*is-crowned and by-rivers is-watered and with-meadows is-lush*
καὶ τρυφαῖς εὐθηνεῖται παντοδαπαῖς, τὰ δ' εἰς
*and in-delights thrives manifold the(-things) and toward*
θεοὺς εὐσεβής, καὶ ὑπὲρ τὰς χρυσᾶς Ἀθήνας ὅλη βωμός,
*gods pious and beyond the golden Athens wholly altar*
ὅλη θῦμα θεοῖς καὶ ἀνάθημα. Προκηρύσσει τὰς ἑορτάς,
*wholly offering to-gods and votive-gift it-proclaims the feasts*
πανηγύρεις ἄγει, θύει τὰ πρόσφορα καὶ Διὶ καὶ
*festivals it-holds it-sacrifices the(-things) fitting both to-Zeus and*
τοῖς ἄλλοις θεοῖς. Παρὰ δὴ ταύτῃ τῇ Εὐρυκώμιδι καιρὸς
*to-the other gods in indeed this — Eurykomis (the)-season*
Διασίων καὶ κλῆρος ἐπὶ τοὺς κήρυκας· καὶ τοῦτο γὰρ ἔθος
*of-(the)-Diasia and lot for the heralds and this for custom*
τῇ πόλει καὶ νόμος ἄγραφος· ἂν καιρὸς πανηγύρεως ἱερᾶς,
*to-the city and law unwritten if season of-festival sacred*
κλῆρος ἐπὶ τοὺς ἄζυγας τῶν προυχόντων τῆς πόλεως·
*lot for the unwed of-the foremost of-the city*

καὶ πρὸς ὃν ὁ κλῆρος ἐκπέσοι, κήρυξ στέλλεται τῇ
*and to whom the lot may-fall herald is-sent to-the*
λαχούσῃ, πρότερον ἐστεφανωμένος τῆς δάφνης.
*(city)-having-drawn(-him) first having-been-crowned with-the laurel*
2 Κλῆρος οὖν ἐπ᾽ ἐμὲ καὶ στεφανίτης ἐγώ, κάλλιστέ μοι
*lot then upon me and crowned-one I most-handsome my*
Χαρίδουξ, καὶ κήρυξ ἱερὸς ἐς Αὐλίκωμιν. Πρόειμι τοῦ
*Charidoux and herald sacred to Aulikomis I-go-forth from-the*
ἱεροῦ περιεστεμμένος δαφνίνῳ στεφάνῳ, ἱερῷ χιτῶνι,
*temple garlanded with-laurel crown in-sacred tunic*
ἀρβύλῃ σεμνῇ· δέχεταί με τὸ παρεστὼς προπομπῇ ποικίλῃ
*in-boot solemn receives me the standing-by with-procession varied*
λαμπάδων, κυμβάλων, δᾴδων, προπεμπτηρίων ᾠδῶν,
*of-torches of-cymbals of-brands of-escorting songs*
ὅλης ἱερᾶς προπομπῆς. Ὀρθὴ γοῦν ἡ πόλις, καὶ
*of-whole sacred procession upright at-any-rate the city and*
πᾶν τὸ ταύτης περὶ ἐμέ· ὁ μὲν ἀσπάζεται, ὁ
*all the of-it around me the(-one) indeed greets the(-other)*
δὲ περιπτύσσεται, ἄλλος ὀρχεῖταί μου πρὸ ποδῶν, καὶ
*and embraces another dances of-me before feet and*
κατ᾽ ἄλλος ἄλλον τὸν θρίαμβον ἐξυφαίνει μοι· εἴποις
*in one another the triumph weaves for-me you-would-say*
ἰδὼν ποταμὸν ἐριβρύχην καὶ πολύρρουν περιρρεῖν με
*having-seen (a)-river loud-roaring and full-flowing to-flow-around me*
τὸν κήρυκα. Ἓν στόμα πάσῃ τῇ πόλει “κήρυξ Ὑσμινίας,
*the herald one mouth to-all the city herald Hysminias*
καὶ κήρυξ οὐκ ἐς τυχοῦσαν ἀλλ᾽ ἐς Αὐλίκωμιν.”
*and herald not to (a)-chance(-city) but to Aulikomis*
3 Ἥκω τοίνυν ἐπ᾽ αὐτήν· τί γὰρ δεῖ τἀν μέσῳ
*I-come therefore to it why for (one)-must the(-things)-in between*
φιλοσοφεῖν; Ὠγαθέ, ἥκω κήρυξ καὶ δέχομαι παρ᾽ αὐτῆς οὐχ
*to-philosophize good-sir I-come herald and am-received by it not*

ὡς κήρυξ ἀλλ᾽ ὡς θεός. Συντρέχει τὸ πλῆθος, κοσμοῦσι τὰς
*as herald but as god runs-together the crowd they-adorn the*
ἀγυιάς, μυρρίναις τὴν ὁδόν μοι καταπάττουσιν, ὀδμαῖς τὸν
*streets with-myrtles the road for-me they-strew with-scents the*
ἀέρα θολοῦσι, καταβρέχουσι τὸ παρεστὼς ῥόδων σταλαγμοῖς·
*air they-cloud they-drench the standing-by of-roses with-drops*
ἐμὲ δὲ περιεστᾶσι, καὶ λαμπρόν τινα χορὸν τοῦτον
*me and they-stand-around and brilliant a dance this*
ἑλίσσουσιν, οἷον καὶ Σωκράτην οἱ ζηλωταὶ περιειστήκεισαν·
*they-whirl such-as also Socrates the disciples had-stood-around*
ἐφέλκονταί με πάντες πρὸς ἑαυτούς, εὐτυχίαν ἡγούμενοι
*draw me all to themselves good-fortune deeming(-it)*
πρὸς ὃν καταλύσαιμι, ὡς ὑπὲρ μεγάλων ἐκ μεγάλης
*with whom I-might-lodge as on-behalf-of great(-things) from (a)-great(-city)*
στελλόμενον κήρυκα. Νικᾷ Σωσθένης, καὶ ἅρμα φέρων
*being-sent herald prevails Sosthenes and chariot bringing*
ἀνάγει μοι καὶ ἄγει με περὶ τὴν οἰκίαν καὶ φιλοφρονεῖταί
*takes-up for-me and leads me to the house and welcomes*
με μάλα φιλοτίμως καὶ εἰσάγει με περὶ τὸν κῆπον.
*me very lavishly and leads-in me into the garden*
Ὁ δ᾽ ἦν μεστὸς χαρίτων καὶ ἡδονῆς, πλήρης 4
*the(-garden) and was full of-graces and of-pleasure full*
φυτῶν, ὅλος ἀνθέων· αἱ κυπάριττοι στοιχηδόν, αἱ μυρρίναι
*of-plants wholly of-flowers the cypresses in-rows the myrtles*
κατὰ στέγην συνηρεφεῖς· αἱ ἄμπελοι βοστρυχοῦνται τοῖς
*in roof overarching the vines curl with-the*
βότρυσι· τὸ ἴον προπηδᾷ τῶν φύλλων καὶ μετ᾽ ὀδμῆς
*clusters the violet leaps-out from-the leaves and with scent*
ὡραΐζει τὴν ὄψιν· τῶν ῥόδων τὸ μὲν προκύπτει τῆς
*beautifies the sight of-the roses the(-one) indeed peeps-out from-the*
κάλυκος, τὸ δ᾽ ἐγκυμονεῖται, ἄλλο προκέκυφεν, ἔστι
*bud the(-other) and is-pregnant another has-peeped-out there-is*

δ' ὃ καὶ πεπανθὲν κατὰ γῆν ἐρρύη· τὸ κρίνον κοσμεῖ
*and which even having-ripened on ground fell the lily adorns*
τὸν κῆπον, ἡδύνει τὴν ὄσφρησιν, τὸν θεατὴν ἐφέλκεται καὶ
*the garden sweetens the smell the beholder draws and*
πρὸς τὸ ῥόδον ἐρίζει· σὺ δ' ἂν εἰ δικαστὴς καθίσῃς αὐτῶν,
*with the rose contends you and — if judge you-sit of-them*
οὐκ οἶδ' ᾧ τὴν νικῶσαν ἀποχαρίσῃ. Ταῦτ' ἰδὼν
*not I-know to-which the winning(-vote) you-would-grant these(-things) having-seen*
τὸν Ἀλκινόου κῆπον ἐδόκουν ὁρᾶν, καὶ μῦθον οὐκ εἶχον τὸ
*the of-Alkinoos garden I-thought to-see and fable not I-held the*
τοῖς ποιηταῖς σεμνολογούμενον πεδίον Ἠλύσιον· δάφνη γὰρ
*by-the poets solemnly-told plain Elysian laurel for*
καὶ μυρρίνη καὶ κυπάριττος καὶ ἄμπελοι καὶ τἆλλα τῶν
*and myrtle and cypress and vines and the-rest of-the*
φυτῶν, ὅσα τὸν κῆπον ἐκόσμει ἢ μᾶλλον ὁ Σωσθένους
*plants as-many-as the garden adorned or rather the of-Sosthenes*
ἔφερε κῆπος, ἐφαπλοῦσι τοὺς κλάδους ὡς χεῖρας καὶ ὥσπερ
*bore garden spread-out the branches as hands and as-if*
χορὸν συστησάμενα κατοροφοῦσι τὸν κῆπον, ἐς τοσοῦτον
*(a)-dance having-formed they-roof-over the garden to so-much*
δὲ τῷ ἡλίῳ παραχωροῦσι προκύψαι περὶ τὴν γῆν, ἐς
*and to-the sun they-allow to-peep-in upon the ground to*
ὅσον ὁ ζέφυρος πνεύσας τὰ φύλλα διέσεισεν. Ἐγὼ δ'
*as-much-as the west-wind having-blown the leaves shook-about I and*
εἶπον ἰδὼν "χρυσέαν ἐπλέξω μοι τὴν σειράν, Σώσθενες."
*said having-seen golden you-wove for-me the chain Sosthenes*
5 Φρέαρ ὡσεὶ πήχεις ὠρώρυκτο τέτταρας· σφενδόνη τὸ σχῆμα
*(a)-well about cubits had-been-dug four sling the shape*
τῷ φρέατι· κιονοειδὴς αὐλὸς περὶ τὸ μεσαίτατον κέντρου
*to-the well column-shaped pipe at the very-middle of-center*
λόγον ἐπέχων πρὸς τὸ τοῦ φρέατος κύκλωμα· λίθος ἦν ὁ
*place holding relative-to the of-the well circle stone was the*

αὐλός, καὶ λίθος ἑκατοντάχρους. Ἐκ Θετταλῆς λίθου φιάλη
*pipe and stone hundred-hued from Thessalian stone (a)-basin*
περὶ τὴν κορυφὴν τοῦ αὐλοῦ, καὶ ἐπὶ ταύτῃ κατάχρυσος
*at the top of-the pipe and upon it gilded*
ἀετὸς ὕδωρ ἀποπτύων τοῦ στόματος. Ἡ φιάλη τὸ ὕδωρ
*eagle water spitting-out from-the mouth the basin the water*
ἐδέχετο· ὁ ἀετὸς ἐξέτεινε τὸ πτερόν, ὡς δοκεῖν ἐθέλειν
*received the eagle stretched-out the wing so-as to-seem to-wish*
λελοῦσθαι. Ἀρτιτόκος αἶξ τοὺς ἐμπροσθίους ὀκλάσασα τῶν
*to-bathe new-delivered goat the front having-bent of-the*
ποδῶν πίνει τοῦ ὕδατος· αἰπόλος τῇ θηλῇ παρακάθηται,
*feet drinks of-the water goatherd by-the teat sits-beside*
ψαύει τῶν οὐθάτων· καὶ ἡ μὲν πίνει τοῦ ὕδατος, ὁ
*touches the udders and the(-one) indeed drinks of-the water the(-other)*
δ' ἀμέλγει γάλα λευκόν· καὶ ὅσον αὖτη προσκέχηνε τῷ
*and milks milk white and as-much-as she gapes-at the*
ποτῷ, ὁ αἰπόλος οὐκ ἀνανεύει τῆς ἀμολγῆς, τὸ δ' ὑπὸ
*drink the goatherd not desists from-the milking the and under*
τὴν θηλὴν ποιμενικὸν κισσύβιον οὐκ ἀσφαλῶς ὀχυρωθὲν
*the teat shepherd's cup not securely having-been-made-fast*
τὴν περὶ τὸν πυθμένα ὀπὴν οὐκ ἐπέχει τὴν ἐκ τῆς θηλῆς
*the at the bottom hole not stops the from the teat*
ἐκροήν. Καὶ λαγωὸς τῷ κύκλῳ συνεφιζάνει, καὶ τῷ
*outflow and (a)-hare to-the circle sits-with and with-the*
δεξιῷ τῶν ἐμπροσθίων ποδῶν ἀνορύττων ὥσπερ τὸ στόμα
*right of-the front feet digging-up as-if the mouth*
πηγὴν ὕδατος ἐκεῖθεν ἀναστομοῖ καὶ ὅλην καταβρέχει τὴν
*(a)-spring of-water from-there opens-up and whole drenches the*
γένυν. Συνεπεκάθητο δὲ τῷ φρέατι περὶ τὸ στεφάνωμα
*jaw sat-together-upon and the well at the rim*
καὶ χελιδὼν καὶ ταὼς καὶ περιστερὰ καὶ ἀλεκτρυών,
*both swallow and peacock and dove and cock*

ἃ πάνθ' Ἥφαιστος ἐχαλκούργησε καὶ Δαιδάλου χεὶρ
*which all Hephaistos wrought-in-bronze and of-Daidalos hand*
ἐτεχνούργησεν. Ὕδωρ ἐξεχεῖτο τῶν χειλέων αὐτῶν, ὃ
*fashioned water poured-out from-the lips their which*
μετὰ ψόφου ῥέον φωνὴν τοῖς ὄρνισιν ἐχαρίζετο· ἐψιθύριζε
*with sound flowing voice to-the birds granted whispered*
καὶ τὰ πέταλα τῶν δένδρων τῷ ζεφύρῳ συνανακρουόμενα·
*also the leaves of-the trees by-the west-wind being-struck-together*
εἶπες ἂν ἀκούσας ἡδὺ μελίζεσθαι τὰ πτηνά. Τὸ
*you-would-have-said — having-heard sweetly to-sing the birds the*
δέ γε καταρρέον ὕδωρ διειδὲς ὂν πρὸς τὰς τῶν λίθων
*and at-least flowing-down water transparent being to the of-the stones*
χροιὰς μετεβάλλετο. Τὸν τοῦ φρέατος πυθμένα νησιώτης
*colors changed the of-the well bottom island*
ἐκόσμει λίθος λευκὸς μὲν ἀλλ' ὑπεμελαίνετο κατὰ μέρη·
*adorned stone white indeed but grew-darkish in parts*
καὶ τὸ μελάνωμα τέχνην ἐμιμεῖτο ζωγράφου, ὡς ἐντεῦθεν
*and the dark-patch (the)-art imitated of-(a)-painter so-that from-this*
δοκεῖν τὸ ὕδωρ κινεῖσθαι διηνεκῶς καὶ κατακυματοῦσθαι
*to-seem the water to-be-moved continually and to-be-tossed-in-waves*
καὶ οἷον ἀνακυρτοῦσθαι· τὰ κύκλωθεν ἐκόσμει τοῦ
*and as-it-were to-arch-up the(-parts) around adorned of-the*
φρέατος λίθος Χῖος ὁ ἐκ Λακαίνης, καὶ Θετταλὸς
*well stone Chian the(-one) from Laconia and Thessalian*
ἑτέρωθεν, καὶ μέσον πολύχρους τις καὶ οἷον
*on-the-other-side and in-the-middle many-hued a(-stone) and as-it-were*
ἑκατοντάχρους, ἐναλλὰξ ἀλλήλοις προσαρμοζόμενοι. Καὶ
*hundred-hued alternately to-one-another being-fitted and*
ἦν θέαμα καινὸν καὶ ὅλον χάριτος καὶ φρέαρ οὕτω
*it-was (a)-sight novel and wholly of-grace and (a)-well so*

ποικίλον καὶ πτηνὰ τὸ ὕδωρ ἐκπτύοντα καὶ Θετταλὴ
*varied and birds the water spitting-out and Thessalian*
φιάλη καὶ κατάχρυσος ἀετὸς πηγὴν φέρων ἐν στόματι.
*basin and gilded eagle (a)-spring bearing in mouth*
Κλῖναι γύρωθεν στοιχηδόν, οὐκ ἀπὸ ξύλων, οὐκ ἐξ 6
*couches around in-rows not of wood not of*
ἐλέφαντος, ἀλλ᾽ ἐκ λίθων τιμίων καὶ λαμπρῶν· Θετταλαὶ
*ivory but of stones precious and brilliant Thessalian*
τὴν βάσιν, τὰς πλευρὰς Χαλκίτιδι λίθῳ περικοσμούμεναι.
*(in)-the base the sides with-Chalcitic stone adorned-around*
Ἡμισφαίρια περὶ τὰς κλίνας ὑπέκειτο· ἃ πάνθ᾽ ὁ τεχνίτης
*half-spheres by the couches lay-beneath which all the craftsman*
ἐκ Πεντελῆς ἐλάξευσεν εἰς ποδὸς ἀνάπαυλαν· τὰς κλίνας
*from Pentele had-hewn for (the)-foot's rest the couches*
μυρρίναι πάντοθεν περιέσκεπον εὐφυῶς ἀνατεταμέναι, πρὸς
*myrtles on-all-sides covered-around gracefully stretched-up to*
ἀλλήλας συνδούμεναι καὶ πρὸς ὄροφον οἷον ἀπευθυνόμεναι.
*one-another bound-together and toward (a)-roof as-it-were being-directed*
Ταῦτα δὴ ταῦτα μὰ Δί᾽ ὁρῶν ὅλην τὴν ὄψιν 7
*these(-things) indeed these(-things) by Zeus seeing whole the sight*
ἀπεδίδουν τοῖς θεάμασι καὶ μικροῦ δεῖν ἄφωνος εἱστήκειν·
*I-gave to-the spectacles and by-little to-lack speechless I-stood*
ὁ δὲ Σωσθένης πρός μέ φησιν "ἀπόθου τὸν πρεσβευτήν,
*— and Sosthenes to me says put-off the envoy*
ἀπόθου τὸν κήρυκα, σὺν ἡμῖν ἀνακλίθητι." Ἀποθέμενος
*put-off the herald with us recline having-put-off*
οὖν τὸν στέφανον καὶ τὸν κηρύκειον χιτῶνα καὶ τὸ
*then the crown and the herald's tunic and the*
ἱερὸν πέδιλον ἀνακέκλιμαι· συνανακέκλιται δέ μοι καὶ
*sacred sandal I-reclined reclined-with and me also*
Κρατισθένης ἀδελφιδοῦς ἐμός, ἄλλος αὐτὸς (οὕτω γὰρ
*Kratisthenes nephew my another self thus for*

ἐγὼ τὸν φίλον ὁρίζομαι) ἐξ Εὐρυκώμιδος συνεκπλεύσας
*I the friend define from Eurykomis having-sailed-out-with*
μοι. Ἀνακεκλίμεθα τοίνυν ἐγώ τε καὶ Κρατισθένης καὶ
*me we-reclined therefore I both and Kratisthenes and*
Σωσθένης καὶ Πανθία γυνή.
*Sosthenes and Panthia (his)-wife*

8 Καὶ τὰ περὶ τροφὰς καὶ τρυφὰς τί δεῖ κατὰ μέρος
*and the(-things) about foods and delicacies why (one)-must in detail*
φιλοκρινεῖν; Ὑσμίνῃ παρθένῳ τῇ θυγατρὶ Σωσθένης οἰνοχοεῖν
*to-discriminate to-Hysmine (the)-maiden the daughter Sosthenes to-pour-wine*
ἐγκελεύεται· ἡ δ᾽ ἀνεζώσατο τὸν χιτῶνα, ἐγύμνωσε τὼ
*orders she and girded-up the tunic bared the(-two)*
χεῖρε μέχρις ἀγκῶνος, τὴν περὶ ταύτας ὀθόνην μηρίνθῳ
*arms up-to elbow the about them linen with-cord*
λεπτῇ περὶ τὸν τράχηλον ἀναδήσασα, καὶ παρακαθίσασα
*thin around the neck having-tied-up and having-sat-down-beside*
τῇ περιστερᾷ τὰς χεῖρας ἐνίπτετο, τοῦ στόματος τοῦ
*the dove the hands washed the mouth of-the*
πτηνοῦ καθυπουργοῦντος τῷ λειτουργήματι. Εἶτά τι σκεῦος
*bird serving the service then a vessel*
ἀργύρεον ἀναλαβομένη περὶ τὸ ῥάμφος ἄγει τοῦ ἀετοῦ καὶ
*silver having-taken-up to the beak brings(-it) of-the eagle and*
περὶ μόνην ῥοπὴν ἐπλήρωσεν ὕδατος· οὕτω κατὰ κρουνὸν
*in only (a)-moment filled(-it) with-water thus in (a)-gush*
τὸ ὕδωρ κατέρρεε. Περὶ τὸ σκεῦος ἐκτίθησι τὰ ἐκπώματα
*the water flowed-down around the vessel she-sets-out the cups*
καὶ καταπλύνασα ταῦτα λίαν ἐπιμελῶς τε καὶ φιλοκάλως
*and having-rinsed them very carefully both and elegantly*
γίνεται πρὸς τῷ λειτουργήματι. Ἔπιε μὲν οὖν ὁ Σωσθένης·
*goes to the service drank indeed then — Sosthenes*
οὐκ ἔπειθε γάρ μ᾽ αὐτοῦ προπιεῖν· εἶτά μου καὶ ἡ
*not he-persuaded for me him to-drink-before then me also —*

Πανθία προέπιεν· ἐμὲ δὲ τρίτον εἶχεν ἡ πόσις. Ἦκεν οὖν
*Panthia drank-before me and third held the drinking came then*
ἡ παρθένος καὶ παρατιθεμένη μοι τὸ ποτήριον "χαίροις"
*the maiden and setting-beside me the cup rejoice*
ὑπεψιθύρισεν· ἐγὼ δ' ἀκούσας εἶπον οὐδέν, ἀλλ' ἔπιον μεθ'
*whispered I and having-heard said nothing but drank with*
ἡδονῆς ὅσης, ὅτι καὶ τὸ ἔκπωμα μάλα τερπνὸν καὶ τὸ
*pleasure how-great because both the cup very delightful and the*
πόμα γλυκὺ καὶ τὸ ὕδωρ διειδὲς καὶ μάλα ψυχρόν, ὧν
*drink sweet and the water transparent and very cold than-which*
οὔτι γένοιτ' ἂν ἡδύτερον ἀνδρὶ διψῶντι καὶ καυματουμένῳ
*not-any would-be — sweeter to-(a)-man thirsting and burning*
καὶ ζέοντι. Καὶ μετ' ἐμὲ Κρατισθένης πίνει τοῦ νέκταρος·
*and seething and after me Kratisthenes drinks of-the nectar*
οὕτω γὰρ ἐγὼ τὸν ἐξ Αὐλικώμιδος οἶνον καλῶ.
*thus for I the from Aulikomis wine call*
Μικρὸν προσανείχομεν ταῖς τροφαῖς πυκναῖς οὔσαις καὶ 9
*a-little we-applied-ourselves to-the foods plentiful being and*
πολυτελέσι τὰ μάλιστα· καὶ πάλιν ἐπίνομεν. Ἦκεν οὖν ἡ
*costly the most and again we-drank came then the*
παρθένος καὶ ἐπ' ἐμὲ καὶ μάλα βραχείᾳ φωνῇ "ἔχεις" φησὶν
*maiden also to me and very low with-voice you-have she-says*
"ἐξ ὁμωνύμου παρθένου τὴν κύλικα" καὶ τὸν πόδα ταύτης
*from same-named maiden the cup and the foot her*
ἐπὶ τὸν ἐμὸν ἐπιτέθεικε καὶ προσεπέθλιβεν ἐφ' ὅσον ἐγὼ
*upon the my(-foot) has-placed and pressed-on for as-long-as I*
τοῦ πόματος ἔπινον· ἐγὼ δ' ἠρυθρίων, νὴ τοὺς θεούς,
*of-the drink was-drinking I and blushed by the gods*
καὶ τάχ' ἂν καὶ ἀπέσκωψα πρὸς αὐτήν, εἰ μὴ τύχῃ
*and perhaps — even I-would-have-jested against her if not by-chance*
γενέσθαι τὸ πρᾶγμα νενόμικα. Πάλιν οὖν ἐτρεφόμεθα καὶ
*to-have-happened the thing I-reckoned again then we-ate and*

πάλιν ἐπίνομεν. Ἦκεν ἡ κόρη κιρνῶσά μοι· προυτείνετο τὸ
*again we-drank came the girl mixing for-me held-out the*
ποτήριον, ἐγὼ δ' ἐξέτεινα τὴν χεῖρα λαβεῖν· καὶ τῆς μὲν
*cup I and stretched-out the hand to-take(-it) and of-the indeed*
κύλικος ἐλαβόμην, ἡ δ' οὐκ ἀπεσπᾶτο τῶν τῆς παρθένου
*cup I-took-hold it and not was-drawn-away from-the of-the maiden*
χειρῶν· ἡ γάρ μοι παρθένος καὶ παρετίθετο τὸ ποτήριον καὶ
*hands the for to-me maiden both set-beside the cup and*
παρακατεῖχεν αὐτό· καὶ τῷ μὲν σχήματι παρετίθετο, τῇ
*held-back it and in-the indeed appearance she-set(-it)-beside in-the*
δ' ἀληθείᾳ κατεῖχεν. Ἔρις οὖν ἐν χερσί, καὶ χεὶρ παρθένου
*and truth held(-it)-fast strife then in hands and hand of-maiden*
κόρης νικᾷ χεῖρα κήρυκος ἀνδρὸς παρθένου. Ἐγὼ δ'
*girl defeats hand of-herald man virgin I and*
αἰσχυνθεὶς τὴν ἧτταν εἶπον πρὸς τὴν παρθένον γλώσσῃ
*having-been-ashamed-at the defeat said to the maiden with-tongue*
κήρυκος, ἐλευθέρᾳ φωνῇ, παρθένῳ ψυχῇ "οὐ βούλει μοι
*of-herald free with-voice maidenly with-soul not do-you-wish to-me*
δοῦναι; τί δ' ἄρα βούλει"; Ἡ δὲ συναρπάζει τῷ λόγῳ
*to-give(-it) what and then do-you-wish she and snatches-away with-the word*
τὴν χεῖρα τῆς κύλικος, ὅλη δ' ἔντρομος ἐγεγόνει καὶ
*the hand from-the cup whole and trembling she-had-become and*
τὴν παρειὰν ὑπὲρ τὴν φύσιν ἠρύθρωτο, τοὺς ὀφθαλμοὺς
*the cheek beyond the nature had-been-reddened the eyes*
ὅλους ἀφῆκε τῇ γῇ καὶ ἦν ὡς ἐκ κεραυνοῦ βληθεῖσα
*wholly let-fall to-the ground and was as from thunderbolt having-been-struck*
τινὸς καὶ ὅλην ἐπὶ τοῦ προσώπου φέρουσα τὴν αἰδῶ.
*some and whole upon the face bearing the shame*
10 Πανθία πρὸς τὴν κόρην ἄγει τοὺς ὀφθαλμούς, ὅλους
*Panthia to the girl turns the eyes wholly*
θυμοῦ, ὅλους ζήλου, καὶ πλήρεις αἵματος· εἰσβάλλει
*of-anger wholly of-jealousy and full of-blood casts*

τούτους ἐπὶ τὴν κορυφὴν τῆς παιδός, ἐπὶ τὰς χεῖρας,
*them upon the head of-the child upon the hands*
ἐπὶ τοὺς πόδας, ἐπὶ τὸν τράχηλον· ὅλην ἔχει τοῖς
*upon the feet upon the neck whole has in-the*
ὀφθαλμοῖς τὴν κόρην, καθ' ὅλης θυμοῦται, καθ' ὅλης
*eyes the girl against whole(-her) she-rages against whole(-her)*
ὀργίζεται· ἐρυθραίνεται τὴν παρειὰν (ὃ καὶ παράδοξόν
*is-angry reddens (in)-the cheek which also strange*
μοι δοκεῖ, θυμοῦ τικτόμενον ἔρευθος), ὠχριᾷ πάλιν, ὡς
*to-me seems of-anger being-born redness grows-pale again as*
τοῦ παντὸς ἐρυθήματος καθ' ὅλου τοῦ τῆς Ὑσμίνης
*of-the whole redness down whole the — of-Hysmine*
προσώπου καταρρυέντος. Ὁ δέ γε Σωσθένης δριμὺ
*face having-flowed-down — and at-least Sosthenes sharply*
πρὸς τὴν παρθένον ἰδὼν καὶ αὐτὸς καὶ κινήσας τὴν
*at the maiden having-looked also himself and having-moved the*
κεφαλὴν ἐκεῖθεν εὐθὺς ἀφαρπάζει τοὺς ὀφθαλμοὺς καί
*head from-there at-once snatches-away the eyes and*
φησι "Διασίων καιρός· κατατρυφήσωμεν τὰ Διάσια· ὅλοι
*says of-(the)-Diasia (the)-season let-us-revel-in the Diasia wholly*
γενώμεθα τῆς ἑορτῆς, ὅλοι τῆς πανηγύρεως. Ζεὺς παρὰ τῇ
*let-us-be of-the feast wholly of-the festival Zeus at the*
τραπέζῃ, καὶ Διὸς ἡ τράπεζα, ὅτι καὶ κήρυξ οὗτος Διός"
*table and of-Zeus the table because also herald this of-Zeus*
τῇ χειρί με παραδεικνύς. Καὶ ὁ Κρατισθένης ἐγγύς μου
*with-the hand me pointing-out and — Kratisthenes near me*
παρακαθήμενος πλήττει με σιγῇ τῇ χειρί, τῷ ποδὶ
*sitting-beside strikes me silently with-the hand with-the foot*
τὸν πόδα προσεπιθλίβει μου καὶ "σίγα" φησί μοι τῷ
*the foot presses-on my and be-silent says to-me with-the*
ψιθυρίσματι. Ἐγὼ δὲ τίς γενοίμην οὐκ εἶχον· ἠρυθρίων,
*whisper I and what I-should-become not I-could-tell I-blushed*

ὠχρίων, ἐσίγων, ἐδειλίων, ὑπέτρεμον, ἠσχυνόμην ἐμαυτόν,
*I-paled I-was-silent I-was-afraid I-trembled I-was-ashamed-before myself*
τὸν Σωσθένην, τὴν Πανθίαν, τὴν κόρην, τοὺς παρεστῶτας
*— Sosthenes — Panthia the girl the bystanders*
καὶ τὸν ἐμὸν Κρατισθένην. Τοὺς ὀφθαλμοὺς ἐπὶ τὴν
*and the my Kratisthenes the eyes upon the*
τράπεζαν ἐπεπήγειν, ἀπαλλαγῆναι ταύτης ηὐχόμην.
*table I-had-fixed to-be-rid of-it I-prayed*

11 Ἡ κόρη καὶ πάλιν ἐκίρνα τῷ πατρὶ κελευσθεῖσα, καὶ
*the girl and again mixed for-the father having-been-bidden and*
μετὰ πατέρα Σωσθένην καὶ μετὰ μητέρα Πανθίαν ἦκε καὶ
*after father Sosthenes and after mother Panthia came also*
πρὸς ἐμὲ τὸν κήρυκα. Ὁ δὲ Σωσθένης φησὶν "Ὑσμινία
*to me the herald — and Sosthenes says Hysminias*
κήρυξ, πόμα σοι τοῦτο τῆς ἑορτῆς, καὶ πίθι τὸν Δία
*herald drink for-you this of-the feast and drink — Zeus*
τιμῶν, καὶ χαῖρε. Χαῖρε τρυφῶν, χαῖρε πίνων, χαῖρε
*honoring and rejoice rejoice feasting rejoice drinking rejoice*
κηρύσσων Διάσια." Ἐγὼ δ' "ἀντίχαιρε, Σώσθενες" εἶπον,
*proclaiming (the)-Diasia I and rejoice-in-turn Sosthenes said*
"οὕτω ποικίλως ἡμᾶς φιλοφρονούμενος καὶ πολυτελῶς."
*so variously us welcoming and sumptuously*
Ἡ δὲ κόρη παρίστατο, τῇ μὲν χειρὶ τῇ χειρί μου
*the and girl stood-by with-the indeed hand to-the hand my*
παρατιθεμένη τὸ ἔκπωμα, τοὺς δ' ὀφθαλμοὺς ὅλους τοῖς
*setting-beside the cup the and eyes wholly with-the*
ὀφθαλμοῖς μου συμπλέκουσα. Προτείνω τὴν χεῖρα λαβεῖν,
*eyes my entwining I-stretch-out the hand to-take(-it)*
ἡ δὲ τὸν δάκτυλον ἐπιθλίβει μου καὶ θλίβουσα στένει καὶ
*she and the finger presses my and pressing sighs and*

φύσημα λεπτὸν ὡς ἐκ καρδίας φυσᾷ. Ἐγὼ δ' ἐσίγων τῷ
*(a)-breath thin as from (the)-heart breathes I and was-silent —*
Κρατισθένει πειθόμενος· καὶ οὕτω κατελύετο τὸ συμπόσιον.
*to-Kratisthenes obeying and thus was-ended the banquet*
Ἦγον οὖν ἡμᾶς ἐπὶ τὸ δωμάτιον Σωσθένης, Πανθία, 12
*led then us to the chamber Sosthenes Panthia*
παρθένος Ὑσμίνη καὶ θεράπαιναι τρεῖς· ἡ μὲν
*(the)-maiden Hysmine and maidservants three the(-one) indeed*
ἐκ τοῦ φρέατος ὕδωρ ἔφερεν, ἡ δέ τι σκεῦος
*from the well water brought the(-other) and a vessel*
ἀργύρεον ἐπ' ὤμων ἀνεῖχεν, ἡ δὲ τρίτη λίνον κατὰ
*silver on shoulders held-up the and third linen like*
χιόνα λευκόν. Ἐπέβημεν τοῦ δωματίου, καὶ Σωσθένης
*snow white we-entered the chamber and Sosthenes*
μοι "χαίροις" εἰπὼν σὺν τῇ Πανθίᾳ ᾤχετο. Ἐγὼ δὲ
*to-me rejoice having-said with — Panthia went-off I and*
καὶ Κρατισθένης ἀνεκεκλίμεθα περὶ κλίνας ὅτι λαμπρῶς
*also Kratisthenes had-reclined on couches most brilliantly*
ἐσταλμένας καὶ μαλακῶς. Ὑπέθηκε τὸ σκεῦος περὶ τὸν
*arrayed and softly placed-under the vessel by the*
σκίμποδα κλίνης ἐμῆς ἡ τοῦτο κατέχουσα· ἡ ἑτέρα
*footstool of-couch my the(-one) it holding the other*
τὸ ὕδωρ ἐπέβαλεν· ἡ δὲ παρθένος Ὑσμίνη ὀκλάσασα
*the water poured-in the and maiden Hysmine having-bent*
τὼ πόδε καὶ λαβομένη μου τῶν ποδῶν ἐκπλύνει
*the(-two) legs and having-taken-hold of-my the feet washes(-them)*
τῷ ὕδατι (καὶ τοῦτο γὰρ τοῖς κήρυξιν ἀφωσίωται)·
*with-the water also this for to-the heralds has-been-dedicated*
συνέχει τούτους, κατέχει, περιπλέκεται, θλίβει, ἀψοφητὶ
*holds them grips embraces presses noiselessly*
φιλεῖ καὶ ὑποκλέπτει τὸ φίλημα· καὶ τέλος ἀμύττουσα
*kisses and steals the kiss and finally scratching*

τοῖς ὄνυξι γαργαλίζει με. Ἐγὼ δὲ τἆλλα σιγῶν καὶ
*with-the nails tickles me I and the-rest keeping-silent and*
φέρων ἄκων ἀνεκάγχασα· ἀνένευσεν ἡ κόρη, καὶ ἀτενῶς
*bearing unwilling burst-out-laughing looked-up the girl and intently*
ἰδοῦσά με μικρὸν ἐμειδίασε καὶ πάλιν κατένευσε, κἂν
*having-looked-at me a-little smiled and again looked-down even-if*
ἐγὼ τοῖς ἔρωσιν οὐκ ἐπένευον· ἀπομάσσεταί μου τοὺς
*I to-the loves not assented wipes my the*
πόδας, τὸ μάκτρον ἐκ τῶν τῆς θεραπαινίδος ἀνελομένη
*feet the towel from the of-the maidservant having-taken-up*
χειρῶν καὶ "χαίροις" εἰποῦσά μοι "κήρυξ," ᾤχετο.
*hands and rejoice having-said to-me herald went-off*
13 Ἐγὼ δὲ περὶ τὸν ὕπνον ἐτραπόμην εὐθύς, καρηβαρήσας
*I and to the sleep turned at-once having-grown-heavy-headed*
καὶ τροφῇ καὶ πόσει καὶ πόνοις τοῖς τοῦ κηρύγματος.
*both with-food and drink and toils the of-the heralding*
Περὶ δὲ τρίτην φυλακὴν τῆς νυκτὸς ὁ καλὸς Κρατισθένης
*about and (the)-third watch of-the night the fine Kratisthenes*
ἐξυπνίζει με λέγων "οὐ χρὴ παννύχιον εὕδειν ἄνδρα
*wakes me saying not (it)-is-fitting all-night to-sleep (a)-man*
κήρυκα." Ἐγὼ δ' ἀπεσπώμην μὲν τῶν ὕπνων, αἰδοῖ
*herald I and was-drawn-away indeed from-the sleep to-shame*
καὶ φιλίᾳ πειθόμενος, οἱ δ' οὐκ ἀπεσπῶντό μου τῶν
*and to-friendship obeying they and not were-drawn-away from-my the*
βλεφάρων· τροφὴ γὰρ καὶ πόσις καὶ κόπος ὕπνου πηγή.
*eyelids food for and drink and weariness of-sleep (the)-spring*
"Τί δὲ φής, ὦ Κρατίσθενες" εἶπον, "τί μου τῶν
*what and do-you-say O Kratisthenes I-said why from-my the*
βλεφάρων τὸν γλυκὺν ἀποσπᾷς ὕπνον;" Ὁ δὲ τὰ
*eyelids the sweet do-you-draw-away sleep he and the(-things)*
περὶ τὴν τράπεζαν ἐζήτει μαθεῖν καὶ πῶς ἀνεκάγχασα,
*about the table sought to-learn and how I-burst-out-laughing*

καὶ τὴν ἐμὴν ἐλοιδόρει γλῶσσαν "γλώσσης τοι" λέγων
*and the my reviled tongue of-tongue surely saying*
"θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
*(a)-treasure among men best*

φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης."
*sparing most and grace in measure going*

Ἐγὼ δὲ πρὸς αὐτὸν "τἆλλα μὲν τοῦ δείπνου, Κρατίσθενες, 14
*I and to him the-rest indeed of-the dinner Kratisthenes*
οἶσθα καὶ σὺ συνανακεκλιμένος ἡμῖν καὶ πίνων τοῦ
*you-know also you having-reclined-with us and drinking of-the*
νέκταρος, τὰ δὲ περὶ τὴν κόρην τοιαῦτα. Πρῶτόν
*nectar the(-things) and about the girl such first*
μοι φέρουσα πόμα "χαίροις" ὑπεψιθύρισε· δεύτερον "ἐξ
*to-me bringing drink rejoice she-whispered second from*
ὁμωνύμου παρθένου χειρῶν δέχου" φησὶ "τὸ ποτήριον,"
*same-named maiden's hands receive she-says the cup*
ἠρέμα δὲ καὶ τοῦτο καὶ τὴν ἀκοὴν ὑποκλέπτουσα, ἐς
*softly and also this and the hearing stealing for*
ὅσον δ' ἐγὼ τοῦ πόματος ἔπινον, αὐτὴ τῷ ποδὶ τὸν
*as-long-as and I of-the drink was-drinking she with-the foot the*
πόδα μου κατεπέθλιβε· τρίτον φέρει μοι πόμα καὶ διδοῦσα
*foot my pressed-down third she-brings to-me drink and giving*
πάλιν ἐπέχει· ἐγὼ δ' ὅπερ ἀκήκοας εἴρηκα. Τὰ δ'
*again holds-back I and what you-have-heard I-said the(-things) and*
ἐφεξῆς οἶδας, τὸν τῆς Πανθίας θυμόν, τὴν ὀργὴν τοῦ
*next you-know the — of-Panthia anger the wrath of-the*
πατρός, τὴν τῆς κρατὸς κίνησιν, τὴν αἰδῶ τῆς παρθένου,
*father the of-the head movement the shame of-the maiden*
τὴν σιγήν, τὴν ἔκπληξιν, τὸ ἐρύθημα, καὶ τἆλλα πάνθ'
*the silence the dismay the blush and the-rest all*

ὁπόσα πέπονθεν, ὡς ἐκ κεραυνοῦ βληθεῖσά τινος· πρὸς
*as-many-as she-suffered as from thunderbolt having-been-struck some at*
ἃ δὴ πάντα, νὴ τὸ σεμνὸν τοῦτο κηρύκειον, ἠσχυνόμην
*which indeed all by the solemn this herald's-staff I-was-ashamed*
αὐτός, καὶ μᾶλλον τὴν σὴν ἐπιτίμησιν, ἥτις με παιδεύει
*myself and more (at)-the your rebuke which me teaches*
σιγᾶν. Τέταρτον ἐπίνομεν Σωτῆρι Διί, καὶ πάλιν Ὑσμίνη
*to-be-silent fourth we-drank to-Savior Zeus and again Hysmine*
τὸν ἐμὸν ἐπέθλιβε δάκτυλον. Ταῦτα τὰ τῆς τραπέζης·
*the my pressed finger these(-things) the(-things) of-the table*
τὰ δὲ τῆς κλίνης ὁποῖα; Νίπτει μου τοὺς πόδας,
*the(-things) and of-the couch of-what-sort she-washes my the feet*
περιπλέκεται, θλίβει τοὺς δακτύλους, φιλεῖ καὶ φιλοῦσα
*embraces(-them) presses the toes kisses and kissing*
κλέπτει τὸ φίλημα καὶ τέλος ἀμύττει μου τὸ πέλμα τοῦ
*steals the kiss and finally scratches my the sole of-the*
ποδός· ὅθεν, ὡς ἤκουσας, ἀνεκάγχασα." Καὶ ὁ Κρατισθένης
*foot whence as you-heard I-burst-out-laughing and — Kratisthenes*
"τῆς εὐτυχίας" ἀνακέκραγε· "παρθένος ἐρᾷ σου, καὶ
*what good-fortune cried-out (a)-maiden loves you and*
παρθένος οὕτω καλή· σὺ δ' οὐκ ἀντερᾷς;" Ἐγὼ δὲ
*(a)-maiden so fair you and not do-you-love-in-return I and*
"καὶ τί τοῦτο τὸ ἀντερᾶν;" εἴρηκα. Ὁ δὲ καὶ πάλιν μέγ'
*even what this the to-love-in-return said he and also again loudly*
ἀνακέκραγεν " Ἡράκλεις, τῆς ἀτοπίας, τῆς ἠλιθιότητος· ἀλλ'
*cried-out Herakles what absurdity what foolishness but*
ἵλεώς σοι Ἔρως, μήτηρ Ἀφροδίτη καὶ ἴυγγες ἐρωτικαί."
*gracious to-you Eros (his)-mother Aphrodite and spells amorous*
Ἐγὼ δὲ "τίνες οὗτοι" πρὸς τὸν Κρατισθένην φημί, "τίς
*I and who these to — Kratisthenes say who*

δέ μοι τούτων διδάσκαλος;" Ὁ δέ μοί φησι "φύσιες
*and to-me of-these teacher he and to-me says natures*
ζώων ἀδίδακτοι." Πάλιν οὖν ἐπὶ τὸν ὕπνον ἐτράπημεν.
*of-creatures untaught again then to the sleep we-turned*

## II · THE PAINTED VIRTUES

*Next day the friends study the painted garden wall: four maidens, named by an iambic line as Prudence, Strength, Temperance, and Justice, and beside them a naked winged lad enthroned with bow, fire, and sword, served by kings, peoples, beasts, and two women, one white and one black. Kratisthenes expounds the epigram: Eros' weapons conquer men, women, beasts, birds, and fish, and the two women are Day and Night, his slaves; Hysminias wishes never to know him. At dinner Hysmine bows to Hysminias, bids him be silent, and shares his cup, then feigns a hurt foot to linger; Kratisthenes urges his friend to yield, but he answers that the gods love the chaste.*

Τῇ δ' ὑστεραίᾳ πάλιν ἐπὶ τὸν κῆπον γενόμενοι 1
*on-the and next(-day) again to the garden having-come*
τοὺς ὀφθαλμοὺς ταῖς χάρισιν ἐτρεφόμεθα, τὴν ἡδονὴν
*the eyes with-the graces we-fed the pleasure*
μεθέλκοντες ἐπὶ τὰς ψυχάς· ἦν γὰρ ἀγαθῶν χωρίον
*drawing-over to the souls was for of-good(-things) (a)-place*
ὁ κῆπος καὶ θεῶν δάπεδον καὶ ὅλος χάρις καὶ ἡδονή,
*the garden and of-gods floor and wholly grace and pleasure*
τέρψις ὀφθαλμῶν, καρδίας παραψυχή, παραμυθία ψυχῆς,
*delight of-eyes of-heart comfort consolation of-soul*
μελῶν ἄνεσις, ἀνάπαυλα σώματος. Τὰ μὲν οὖν περὶ
*of-limbs relaxation rest of-body the(-things) indeed then about*
τὸν κῆπον ὅσα καὶ οἷα· τὸ δέ γε θριγγίον, ἄλλο
*the garden how-many and of-what-sort the and at-least wall another*
τεράστιον, τοσοῦτον εἰς ὕψος αἰρόμενον ὅσον ἀνεπίβατα
*marvel so-far to height rising as-far-as unreachable*

τἀν τῷ κήπῳ τηρεῖν καὶ ὀφθαλμοῖς καὶ ποσί,
*the(-things)-in the garden to-keep both to-eyes and to-feet*
πάντοθεν κατεχαριτοῦτο χειρὶ ζωγράφου σοφῇ.
*on-all-sides was-adorned-with-grace by-hand of-(a)-painter skilled*
2 Παρθένοι τέτταρες ἐγεγράφατο στοιχηδόν. Ἡ πρώτη
*maidens four had-been-painted in-a-row the first*
λαμπρῶς τὴν κεφαλὴν ἐστεφάνωτο. Λίθοι περὶ τὸν
*brilliantly (on)-the head had-been-crowned stones around the*
στέφανον μάλα τηλαυγεῖς, πῦρ ἀπαστράπτοντες καὶ φῶς
*crown very far-shining fire flashing-forth and light*
ἀπαυγάζοντες, ὑδάτων μεστοί. Εἴποις ἰδὼν μεμῖχθαι
*beaming-forth of-waters full you-would-say having-seen to-have-been-mixed*
τὰ ἄμικτα, ὕδωρ καὶ πῦρ, ἐν λίθῳ, καὶ ἄμφω τερπνὰ
*the(-things) unmixable water and fire in stone and both delightful*
καὶ ἄμφω χαρίεντα. Τὸ μὲν κυματοῦται τῷ ἐρυθήματι,
*and both graceful the(-one) indeed billows with-the redness*
τὸ δ' ἀπαστράπτει· οὕτως ὁ τεχνίτης ἀκριβῶς τὴν
*the(-other) and flashes thus the craftsman exactly the*
φύσιν τῶν λίθων ἀπεμιμήσατο. Μάργαροι περικυκλοῦσι τοὺς
*nature of-the stones imitated pearls encircle the*
λίθους κατὰ χιόνα λευκοί, σφαιροειδεῖς τὸ σχῆμα, τὸ
*stones like snow white spherical (in)-the shape (in)-the*
μῆκος ὑπὲρ τὰς φύσεις αὐτῶν· οἷς ἐγὼ τοὺς ὀφθαλμοὺς
*size beyond the natures their to-which I the eyes*
ὅλους ἀποδοὺς εἶπον μετὰ θάμβους καὶ ἡδονῆς "χάλαζα
*wholly having-given said with amazement and pleasure hail*
καὶ ἄνθρακες πυρός." Ὁ δὲ Κρατισθένης (παρῆν γὰρ καὶ
*and coals of-fire — and Kratisthenes was-present for also*
αὐτὸς) ἀνεκάγχασέ μου τῇ παραχρήσει τοῦ ῥήματος.
*himself burst-out-laughing of-me at-the misuse of-the phrase*
Ὁ πλόκαμος εὐφυῶς περὶ τοὺς ὤμους ἥπλωται τῆς
*the hair gracefully over the shoulders has-been-spread of-the*

παρθένου καὶ βοστρυχοῦται μὲν ὡς εἰκός, ὑποχρυσίζει δὲ
*maiden and curls indeed as (is)-likely is-goldish and*
τὸ βοστρύχωμα. Ὁρμίσκος περὶ τὸν τράχηλον ἐξ ἀργυρίου
*the curling (a)-necklace around the neck of silver*
μετὰ στιγμάτων χρυσίου· ὑάκινθος ὁ πόρπαξ αὐτῷ. Χεῖρες
*with dots of-gold jacinth the clasp to-it hands*
τῇ παρθένῳ λευκαὶ καὶ ὄντως παρθενικαί· ἡ δεξιὰ
*to-the maiden white and truly maidenly the right*
ταθεῖσα καὶ αὖ κυρτωθεῖσα τῆς κεφαλῆς ἥψατο τῷ
*having-been-stretched and again having-been-curved the head touched with-the*
δακτύλῳ καὶ τοῦ περὶ τὸ μέτωπον ἄνθρακος· ἡ δὲ λαιὰ
*finger and the on the forehead carbuncle the and left*
σφαιρίδιόν τι κατέχει περιτερπές. Ὁ δεξιὸς ποῦς ἀσάνδαλος
*little-ball some holds very-delightful the right foot sandalless*
τῇ παρθένῳ· τὸν γάρ τοι λαιὸν ἐπεκάλυπτε τὸ χιτώνιον.
*to-the maiden the for surely left covered the tunic*
Ὅλος ὁ χιτὼν ἀκαλλὴς καὶ οἷον ἀγροικικώτερος· τὸν
*whole the tunic unadorned and as-it-were rather-rustic the*
γὰρ πάντα κόσμον περὶ τὴν κεφαλὴν τῆς κόρης ὁ τεχνίτης
*for all adornment on the head of-the girl the craftsman*
ἐκένωσε, τὰ δ' ἄλλ' ὡς ἔτυχε κατεπέχρωσεν.
*emptied-out the(-things) and other as (it)-happened be-colored-over*
Ἡ μετ' αὐτὴν παρθένος καὶ τῇ τάξει δευτέρα ὅλη 3
*the after her maiden and in-the order second wholly*
στρατιῶτις πλὴν τοῦ προσώπου, εἰ μὴ δ' ὅτι καὶ τοὺς
*(a)-soldier except the face if not and that also (in)-the*
ὀφθαλμοὺς ἀγριωτέρα ἢ κατὰ παρθένον ἰδεῖν. Κόρυς
*eyes fiercer than as-befits (a)-maiden to-see (a)-helmet*
περιαστράπτει τὴν κεφαλὴν καὶ ταύτην κατακοσμεῖ, θυρεὸς
*flashes-around the head and it adorns (a)-shield*
τὸ στέρνον, φολιδωτὸς χιτὼν τὸ μετάφρενον, μίτρα τὴν
*the breast scaled tunic the back (a)-girdle the*

ζώνην· τὸν ταρσόν, τὴν χεῖρα καὶ τἆλλα τῶν μελῶν
*waist the foot the hand and the-rest of-the limbs*
στρατιωτικῶς κατεπέφρακτο. Ἡ χεὶρ κατὰ δρῦν παχεῖα·
*soldier-like she-had-been-armored the hand like (an)-oak thick*
οἱ δέ γε δάκτυλοι πρὸς τὸ παρθενικὸν ἐγεγράφατο.
*the and at-least fingers according-to the maidenly had-been-painted*
Ἐν ὅσοις τῶν μελῶν ἐγυμνοῦτο, ὅλη παρθένος ἦν ἡ
*in as-many-as of-the limbs she-was-bare wholly maiden was the*
στρατιῶτις· ἐν ὅσοις δὲ κατεπέφρακτο, ὅλην στρατιῶτιν
*soldier in as-many-as and she-had-been-armored wholly soldier*
τὴν παρθένον ὁρᾷς. Ἀσπὶς τῇ λαιᾷ τῇ παρθένῳ, εἰ δέ
*the maiden you-see (a)-shield in-the left to-the maiden if and*
γε βούλει, τῇ στρατιώτιδι· τῇ δ' αὖ ἑτέρᾳ δολιχὸν
*at-least you-wish to-the soldier in-the and again other long*
ἔγχος, γραφεῖον Ἄρεος.
*spear stylus of-Ares*

4 Ἡ μετ' αὐτὴν ὅλη παρθένος, ὅλη σεμνὴ τὴν ὄψιν,
*the after her wholly maiden wholly solemn (in)-the look*
τὸ σχῆμα, τὸν χιτῶνα, τὸ πέδιλον· ἐστεφανωμένη τὴν
*the bearing the tunic the sandal crowned (on)-the*
κεφαλὴν οὐκ ἐκ λίθων κατὰ τὴν πρώτην, οὐκ ἐκ
*head not with stones like the first not with*
μαργάρων κατὰ τὴν ἐξ ἀρχῆς, ἀλλ' ὅλοις φύλλοις, ἀλλ'
*pearls like the from (the)-beginning but wholly with-leaves but*
ὅλοις ἄνθεσι. Ῥόδον οὐκ εἶχεν ὁ στέφανος ἢ λαθομένου
*wholly with-flowers (a)-rose not had the crown either having-forgotten*
τοῦ τεχνίτου ἢ φεισαμένου ἢ τῶν χρωμάτων ἡττωμένων
*the craftsman or having-spared(-it) or the colors being-defeated*
τῆς τοῦ ῥόδου βαφῆς. Ὁ πλόκαμος τῇ κόρῃ κατεχεῖτο
*by-the of-the rose dye the hair to-the girl was-poured-down*
μικρὸν καὶ αὖ περὶ τὸν στέφανον ἀνεδέδετο. Λευκὴ
*a-little and again around the crown had-been-bound-up (a)-white*

καλύπτρα τὴν κεφαλὴν καὶ τὰ περὶ τὸ μέτωπον
*veil the head and the(-things) about the forehead*
κατεκάλυπτεν. Ἀραχνώδης ὁ χιτὼν τῇ παρθένῳ, τὸ
*covered spider-fine the tunic to-the maiden (in)-the*
χρῶμα λευκός, ποδήρης τὸ σχῆμα καὶ ὅλος πλατύς.
*color white reaching-to-the-feet (in)-the shape and wholly broad*
Ἡ δεξιὰ τῶν χειρῶν δεξιῶς ἐπικειμένη τῷ στήθει τὸν
*the right of-the hands deftly lying-upon on-the breast the*
ὁμώνυμον κατακαλύπτει μαζόν· οἱ δάκτυλοι τὸν λαιὸν ὅλον
*same-named covers breast the fingers the left whole*
περικαλύπτουσι κατεπικείμενοι καὶ φυλάσσοντες (ἄμαστον
*cover-around lying-upon(-it) and guarding breastless*
εἴποις ἰδὼν γεγράφθαι τὴν κόρην)· ἡ δ' ἑτέρα
*you-would-say having-seen to-have-been-painted the girl the and other*
χεὶρ τὸ χιτώνιον ἀνέχει πρὸ τῶν μηρῶν· ὁ γὰρ βορρᾶς
*hand the tunic holds-up before the thighs the for north-wind*
ἐδόκει πνεῖν κατὰ μέτωπον καὶ τὸ πολὺ τοῦ χιτῶνος
*seemed to-blow in (her)-face and the most of-the tunic*
περὶ τὴν πτέρναν ἐξέχυσεν. Οὕτως ἡ κόρη σεμνὴ καὶ
*around the heel poured-out thus the girl solemn and*
τὸ πνεῦμα θρασὺ καὶ λεπτὸν τὸ χιτώνιον· διὰ γάρ
*the wind bold and thin the tunic through for*
τοι παρθενικῆς ἁπαλόχροος οὐ διάησιν αἰθρηγενέτης
*surely (a)-maiden soft-skinned not blows-through sky-born*
βορρᾶς. Ὁ δεξιὸς τῶν ποδῶν περὶ θάτερον στρέφεται
*north-wind the right of-the feet around the-other turns*
καὶ κατεπίκειται καὶ συμπλέκεται, μηρὸς ἐν μηρῷ καὶ
*and lies-upon(-it) and is-entwined thigh in thigh and*
ὅλος ποῦς ἐν ποδί, ἵνα μὴ τῷ λεπτῷ τοῦ χιτῶνος τὸ
*whole foot in foot that not by-the thinness of-the tunic the*

σῶμα διαφωτίζηται. Μέλαν τὸ πέδιλον τοῖν ποδοῖν καὶ
*body be-shown-through black the sandal to-the(-two) feet and*
ἀσφαλῶς ἐσκευασμένον καὶ μὴ κατὰ παρθένον ἠμφιεσμένον.
*securely made and not as-befits (a)-maiden clothed*
5 Ἡ τετάρτη καὶ τελευταία παρθένος ἐξ ἄρτι ῥαγέντος
*the fourth and last maiden from just burst*
νέφους ἀπορρυῆναι δοκεῖ καὶ ὡς ἐξ οὐρανοῦ διακύπτει·
*(a)-cloud to-have-streamed-down seems and as from heaven peeps-through*
καὶ αἰθέριος ὅλη, τὸ σχῆμα σεμνή, χαρίεσσα μέντοι
*and ethereal wholly (in)-the bearing solemn graceful however*
τὸ πρόσωπον. Ἐρυθρὸς ὁ χιτών, ἀλλ᾽ ἔχει τι καὶ
*(in)-the face red the tunic but it-has something also*
λευκότητος· εἰ δὲ τοῦ σώματός ἐστι τὸ λευκὸν καὶ
*of-whiteness whether and of-the body is the white and*
διαρρεῖ τὸν χιτῶνα, ὁ τεχνίτης οὐκ ἀφῆκεν ὁρᾶν. Θριὶξ
*flows-through the tunic the craftsman not allowed to-see hair*
πᾶσα τῆς κόρης εὐφυῶς συνῆκται πρὸς τὸ μετάφρενον.
*all of-the girl gracefully has-been-gathered to the back*
Τοὺς ὀφθαλμοὺς ὅλους ἔχει πρὸς οὐρανόν. Στάθμη καὶ
*the eyes wholly she-has toward heaven (a)-rule and*
φλὸξ ταῖν χεροῖν, ἡ μὲν ἐπὶ δεξιᾷ, ἡ δ᾽ ἐπ᾽
*(a)-flame in-the(-two) hands the(-one) indeed in (the)-right the(-other) and in*
ἀριστερᾷ. Τὼ πόδε μέχρι καὶ κνημῶν ἐξέφυγεν ὁ χιτών.
*(the)-left the(-two) feet up-to even (the)-shins escaped the tunic*
6 Οὕτω μὲν οὖν εἶχον αἱ γυναῖκες· τὸ δὲ περὶ ταύτας δρᾶμα
*thus indeed then were the women the and about them drama*
καὶ τίνες αὗται μαθεῖν ἐζητοῦμεν φιλοπονώτερον· γράμματα
*and who these to-learn we-sought more-diligently letters*
τοίνυν ὁρῶμεν ὑπὲρ τὰς κεφαλὰς τῶν παρθένων, ἃ πάνθ᾽
*therefore we-see above the heads of-the maidens which all*

ὑπῆρχον ἰαμβεῖον ἓν εἰς τέτταρα τετμημένον καὶ ταῖς
*were iambic-line one into four cut and to-the*
παρθένοις τὰς κλήσεις ἀφοσιούμενον· τὸ δ᾽ εἶχεν οὕτω
*maidens the names assigning it and ran thus*

Φρόνησις, Ἰσχύς, Σωφροσύνη καὶ Θέμις.
*Prudence Strength Temperance and Justice*

Ἐντεῦθεν ἐφιλοσοφοῦμεν τὰ τῶν γυναικῶν σχήματα καὶ
*from-there we-reasoned-out the of-the women figures and*
τὰ μέχρι τοῦ τόθ᾽ ἡμῖν κατελαμβάνομεν ἀκατάληπτα,
*the(-things) until the then to-us we-grasped ungrasped*
τὸν λαμπρὸν στέφανον τῆς πρώτης παρθένου, τοὺς περὶ
*the brilliant crown of-the first maiden the around*
τὸν στέφανον λίθους, τοὺς μαργάρους, τὸν περὶ τὴν δέρην
*the crown stones the pearls the around the neck*
χρυσόν, τὸν ἄργυρον, τὸν ὑάκινθον, τὸ σχῆμα τῆς κόρης,
*gold the silver the jacinth the bearing of-the girl*
τὸ σχῆμα τῆς δεξιᾶς μονονοὺ λεγούσης ὡς ‘ἐνταῦθα
*the gesture of-the right all-but saying that here*
τὸν ὄλβον ἔχω περὶ τὴν κεφαλήν,’ τὸ περὶ τὴν λαιὰν
*the wealth I-have on the head the in the left*
σφαιρίδιον, ὡς συνέχει τὸ πᾶν, καὶ τὸ τοῦ χιτῶνος
*little-ball how holds-together the all and the of-the tunic*
ἀπερικόσμητον, ὡς τἆλλα πάντα πλὴν τῆς κεφαλῆς
*unadorned how the-rest all except the head*
ἀκοσμήτως ἡ φρόνησις ἔσταλται· τὸ στρατιωτικὸν σχῆμα
*without-adornment the prudence is-arrayed the soldierly bearing*
τῆς μετ᾽ αὐτήν, τὴν ἐν στρατιώτιδι παρθένον, καὶ
*of-the(-one) after her the in soldier maiden and*
αὖ τοὐναντίον τὴν ὅλην στρατιῶτιν, τὴν ὅλην παρθένον·
*again the-opposite the whole soldier the whole maiden*

ἀνδρεία γὰρ ὡς τῇ φύσει στρατιῶτις, καὶ τῇ κλήσει
*courage for as by-the nature soldier and by-the name*
παρθένος· ὅθεν ἐν οἷς μὴ περιφράττοιτο στρατιωτικῶς,
*maiden whence in what not she-may-be-armored soldier-like*
ὅλη παρθένος ἐστὶ καὶ κλήσει καὶ σώματι· ἐν οἷς δὲ τὴν
*wholly maiden she-is both in-name and in-body in what and the*
ἰσχὺν ὑπαινίττοιτο, ὅλη στρατιῶτις ἡ παρθένος ἐστί· καὶ
*strength she-may-hint-at wholly soldier the maiden is and*
ὡς ἐν τῇ φύσει τὴν κλῆσιν ὁ ζωγράφος παρεφυλάξατο,
*as in the nature the name the painter kept-watch-over*
οὕτω κἀν τῇ κλήσει τὴν φύσιν ὅλην ὑπεχρωμάτισε·
*thus and-in the name the nature whole colored-beneath*
τῆς ἑτέρας καὶ τρίτης τὸν ἐξ ἀνθέων στέφανον, τὸν
*of-the other and third the of flowers crown the(-one)*
ἐξ ἀμαράντων φυτῶν, τὴν συστολὴν τοῦ πλοκάμου, τὴν
*of unfading plants the binding-up of-the hair the*
καλύπτραν τῆς κεφαλῆς, τὴν περιστολὴν τῶν στέρνων,
*veil of-the head the wrapping of-the breast*
τὴν φυλακὴν τῶν μαστῶν, τὸν ἐπὶ τῷ μηρῷ μηρόν,
*the guarding of-the breasts the upon the thigh thigh*
τὴν καὶ μέχρι πνεύματος σωφροσύνην, καὶ τἆλλα πάνθ'
*the even unto (the)-wind temperance and the-rest all*
ὁπόσα πανευφυῶς ὁ τεχνίτης τῇ φίλῃ μοι παρθένῳ
*as-many-as most-gracefully the craftsman to-the dear to-me maiden*
προσήρμοσε. Περιπτύσσομαί σου τὴν χεῖρα, γραφεῦ·
*fitted I-embrace your the hand painter*
ἀσπάζομαι τὴν γραφίδα· χάριν ὁμολογῶ σοι πρός γε
*I-greet the brush thanks I-acknowledge to-you besides at-least*
τοῖς ἄλλοις ὅτι μὴ τῷ στεφάνῳ τῆς ὄντως παρθένου
*the other(-things) because not in-the crown of-the truly maiden*
τὸ ῥόδον συνέπλεξας. Οὐδὲν κοινὸν σωφροσύνῃ καὶ ῥόδῳ
*the rose you-wove nothing common to-temperance and to-rose*

τῷ αἰσχρῶς βαφέντι κἀκ τῆς αἰδοῦς ἐρυθραινομένῳ τὸ
*the shamefully dyed and-from the shame reddening (in)-the*
πρόσωπον. Τῆς τετάρτης τὸ διακύπτον ἐξ οὐρανοῦ, τὸ
*face of-the fourth the peeping-through from heaven the*
αἰθέριον, τὸ ἀπερικάλυπτον, τὸ λαμπρὸν τοῦ προσώπου, τὰ
*ethereal the unveiled the brilliance of-the face the*
τῆς δίκης ζυγὰ καὶ τἆλλ' ὁπόσα προσφόρως ὁ τεχνίτης
*of-the justice scales and the-rest as-many-as fittingly the craftsman*
τῇ Θέμιδι προσεφήρμοσε· δικαιοσύνη γὰρ ἐξ οὐρανοῦ
*— to-Justice fitted justice for from heaven*
διακύπτει καὶ ταλαντεύει τὰς κρίσεις καὶ πρὸς οὐρανὸν
*peeps-through and weighs the judgments and toward heaven*
ἀπευθύνει τοὺς ὀφθαλμοὺς καὶ οὐδὲν ἀνθρώπινον ἔχει.
*directs the eyes and nothing human has*
Μετάγομεν τοὺς ὀφθαλμοὺς ἐπὶ τὴν μετὰ τὰς παρθένους 7
*we-shift the eyes to the after the maidens*
γραφὴν καὶ δίφρον ὁρῶμεν ὑψηλὸν καὶ λαμπρὸν καὶ ὄντως
*painting and (a)-throne we-see high and brilliant and truly*
βασιλικόν. Κροίσου δίφρος ἐκεῖνος ἢ πολυχρύσου Μυκήνης
*royal of-Kroisos throne that or of-golden Mykene*
τυράννου τινός. Τῷδ' ἐπεκάθητο μειράκιον τερατῶδες,
*of-(a)-tyrant some on-this sat (a)-lad prodigious*
γύμνωσιν παντελῆ καθ' ὅλου φέρον τοῦ σώματος· πρὸς ὃ
*nakedness complete over whole bearing the body at which*
δὴ βλέπων ἠσχυνόμην αὐτὸς καὶ τοῦ ἔπους ἐμνήσθην ὡς 'τὸ
*indeed looking I-was-ashamed myself and the saying I-remembered that the*
μὴ φρονεῖν κάρτ' ἀνώδυνον κακόν.' Τόξον καὶ πῦρ περὶ τὼ
*not to-think very painless (an)-evil bow and fire in the(-two)*
χεῖρε τοῦ μειρακίου, φαρέτρα περὶ τὴν ὀσφὺν καὶ σπάθη
*hands of-the lad quiver around the loins and sword*
ἀμφίκοπος· τὼ πόδε μὴ κατ' ἄνθρωπον τῷ μειρακίῳ,
*two-edged the(-two) feet not as-of (a)-man to-the lad*

ἀλλ᾽ ὅλον πτερόν· τὰ δέ γε περὶ τὴν κεφαλὴν
*but wholly wing the(-things) and at-least about the head*
οὕτω τερπνὸν τὸ μειράκιον, ὑπὲρ μειράκιον πᾶν, ὑπὲρ
*so delightful the lad beyond lad every beyond*
πᾶσαν παρθένον, θεῶν ἄγαλμα, εἴδωλον Διός, ὅλος κεστὸς
*every maiden of-gods delight image of-Zeus wholly (the)-girdle*
Ἀφροδίτης, Χαρίτων ὅλος λειμών, ὅλος ἡδονή. Ἂν Θέτιδος
*of-Aphrodite of-Graces wholly meadow wholly pleasure if of-Thetis*
γάμος, ἂν Ἥρα περὶ τὸν γάμον, ἂν Ἀφροδίτη, ἂν Ἀθηνᾶ,
*(the)-wedding if Hera at the wedding if Aphrodite if Athena*
ἂν καὶ τουτὶ τὸ μειράκιον, ἂν Ἔρις κυκᾷ τὸ συμπόσιον,
*if also this-here the lad if Eris stirs-up the banquet*
ἂν μῆλον πλάττῃ, ἂν τὸ μῆλον ζητῇ λαβεῖν τὴν καλήν, ἂν
*if (an)-apple she-fashions if the apple seeks to-take the fair(-one) if*
Πάρις κριτής, ἂν τὸ μῆλον ἆθλον τοῦ κάλλους, ἔχεις τὸ
*Paris judge if the apple prize of-the beauty you-have the*
μειράκιον τοῦτο. Καὶ πρὸς τὸν Κρατισθένην εἶπον "ὡς ἄρα
*lad this and to — Kratisthenes I-said how after-all*
καινόν τι χρῆμα ζωγράφου χείρ· τὰ ὑπὲρ τὴν φύσιν
*strange a thing (a)-painter's hand the(-things) beyond the nature*
τερατουργεῖ καὶ πλάττει τῷ λογισμῷ καὶ τὰ πλάσματα
*works-wonders and fashions with-the thought and the fictions*
τεχνουργεῖ. Εἰ δέ γε βούλει, φιλοσοφήσωμεν τὸ μειράκιον.
*crafts if and at-least you-wish let-us-reason-out the lad*
8 " Ἀγχίθυροι ταῖς ἀρεταῖς αἱ κακίαι, καὶ ταύταις
*next-door to-the virtues the vices and to-them*
παραπεπήγασι. Πρὸς τοῦτο δὴ τὸ γνωμάτευμα τὸ
*are-fixed-beside to this indeed the maxim the*
μειράκιον ἀναπέπλασται, καὶ τέχνη τὸ πλάσμα πρὸς
*lad has-been-fashioned and art the fiction to*
φύσιν μετήγαγεν. Ἔχω σου, τεχνῖτα, τὸ αἴνιγμα, ἔχω σου
*nature carried-over I-have your craftsman the riddle I-have your*

τὸ δρᾶμα· εἰς αὐτόν σου βάπτω τὸν νοῦν· κἂν Σφὶγξ
*the drama into (the)-very your I-dip the mind even-if (a)-Sphinx*
γένῃ, Οἰδίπους ἐγώ· κἂν ὡς ἐκ Πυθικῆς ἐσχάρας καὶ
*you-become Oidipous I even-if as from (a)-Pythian hearth and*
τρίποδος αἰνιγματωδῶς ἀποφοιβάζῃς λοξά, πρόσπολος
*tripod riddlingly you-prophesy crooked(-things) (the)-servant*
ἐγώ σοι, καὶ διασαφῶ τὰ αἰνίγματα."
*I to-you and I-make-clear the riddles*
Τὰ δ' ἐφεξῆς ὁποῖα; Ὅλος στρατὸς παρειστήκει τῷ 9
*the(-things) and next of-what-sort (a)-whole army stood-beside the*
μειρακίῳ, ὅλαι πόλεις, χορὸς σύμμικτος ἀνδρῶν, γυναικῶν,
*lad whole cities (a)-throng mixed of-men women*
πρεσβυτῶν, γραῶν, μειρακίων, παρθένων. Βασιλεῖς, τύραννοι,
*old-men old-women lads maidens kings tyrants*
δυνάσται, κρατοῦντες γῆς ὡς δοῦλοι παρίστανται οὐκ
*lords ruling (the)-earth as slaves stand-by not*
ἴσα καὶ βασιλεῖ ἀλλ' ἴσα θεῷ, καὶ γυναῖκες δύο ταῖς
*equally as to-(a)-king but equally to-(a)-god and women two by-the*
χερσὶν ἀλλήλαις συνδούμεναι, τὸ μῆκος ὑπὲρ γυναῖκας,
*hands to-each-other bound-together (in)-the height beyond women*
ὑπὲρ τὸν Ἰαπετὸν τὸν χρόνον, καιναὶ τὴν ὄψιν, καιναὶ
*beyond — Iapetos (in)-the age strange (in)-the look strange*
τὴν ῥυτίδα, καιναὶ τὸ σχῆμα, καιναὶ τὴν χροιάν. Ἡ
*(in)-the wrinkle strange (in)-the bearing strange (in)-the color the(-one)*
μὲν ἡλιοειδὴς καὶ ὅλη λευκή· λευκὴ τὴν τρίχα, λευκὴ τοὺς
*indeed sunlike and wholly white white (in)-the hair white (in)-the*
ὀφθαλμούς, λευκὴ τὸ χιτώνιον, τὸ πρόσωπον, τὼ
*eyes white (in)-the tunic (in)-the face (in)-the(-two)*
χεῖρε, τὼ πόδε, τὰ πάντα λευκή· ἡ δ' ἑτέρα
*hands (in)-the(-two) feet (in)-the(-things) all white the and other*
τὰ πάντα μέλαινα, καὶ τρίχα καὶ κεφαλὴν καὶ τὸ
*(in)-the(-things) all black both hair and head and (in)-the*

πρόσωπον καὶ χεῖρας καὶ πόδας καὶ τὸ χιτώνιον. Ἴσαι
*face and hands and feet and (in)-the tunic equal*
τὴν ἡλικίαν, διάφοροι τὴν χροιάν· ἴσαι τὴν ῥυτίδα,
*(in)-the age different (in)-the color equal (in)-the wrinkle*
τὸ γένος διάφοροι· ἡ μὲν γὰρ ὡς ἐξ Ἀχαιίδος
*(in)-the race different the(-one) indeed for as from Achaia*
καλλιγύναικος, ἡ δ' ὡς ἐκ κεκαυμένης Αἰθιοπίας.
*of-fair-women the(-other) and as from burnt Ethiopia*
Παρίσταται καὶ πλῆθος πτηνῶν καὶ φέρον ἐλεύθερον τὸ
*stands-by also (a)-multitude of-birds and bearing free the*
πτερὸν ὡς δοῦλον παρίσταται. Ὅλον γένος Ἀμφιτρίτης
*wing as slave stands-by (the)-whole race of-Amphitrite*
νεπόδων δουλογραφεῖται τῷ μείρακι· καὶ θὴρ βασιλεὺς
*of-finned(-ones) is-enrolled-as-slave to-the lad and (the)-beast king*
θηρίων μετὰ παντὸς * ὁμόδουλος παρίσταται.
*of-beasts with all (lacuna) fellow-slave stands-by*
10 Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην "πῶς δ' οὐ πτερύσσεται
*I and to — Kratisthenes how and not flutters*
τὸ πτηνὸν ἀνέτῳ πτερῷ, ἀλλὰ δουλαγωγεῖται καινῶς οὕτω
*the bird with-free wing but is-led-as-slave strangely thus*
καὶ ὑπὲρ τὴν φύσιν; Θὴρ λέων ὠμηστής, βασιλεὺς θηρίων,
*and beyond the nature (a)-beast lion raw-eating king of-beasts*
δοῦλος τῷ μείρακι καὶ ταῦτα γυμνῷ, ὃν φρίσσει καὶ θὴρ
*slave to-the lad and this naked whom dreads both beast*
καὶ ὅλος ὁπλίτης. Ὄνυξ δὲ ποῦ καὶ βλοσυρὸν ὄμμα καὶ
*and whole hoplite claw and where and grim eye and*
λάσιον στέρνον καὶ πρὸ πάντων τὸ φρικτὸν καὶ ἄγριον
*shaggy breast and before all the fearful and savage*
βρύχημα; Φρακτὸν γένος (παρίστατο γὰρ καὶ τοῦτο) καὶ
*roar armored race stood-by for also this and*
πᾶς βασιλεύς, πᾶς δυνάστης, πᾶς τύραννος οὐκ ἀρκεῖ πρὸς
*every king every lord every tyrant not suffices against*

μόνον μειράκιον ὅλον γυμνόν; Ἰχθὺς ἢ πᾶς θαλάσσιος
*(a)-single lad wholly naked fish or every sea*
θὴρ τί μοι φρίσσει τοῦ μειρακίου; Τὸ πῦρ; ἀλλὰ πάλιν
*beast why to-me dreads of-the lad the fire but in-turn*
ὅλας ἔχει θαλάσσας, ὅλον βυθόν, πολέμιον πυρός· τὸ
*whole has seas whole depth hostile to-fire the*
τόξον, τὸ πτερόν; εἶτ' οὐκ ἀμβλύνονται τῷ βυθῷ; Βαβαί
*bow the wing then not are-blunted by-the depth ah*
μοι τῶν γυναικῶν, βαβαί μοι τοῦ θαύματος, βαβαὶ τῆς
*to-me for-the women ah to-me for-the wonder ah for-the*
ἡλικίας, βαβαὶ τῶν ῥυτίδων, βαβαὶ τοῦ σχήματος, τῆς
*age ah for-the wrinkles ah for-the bearing for-the*
δουλοπρεπείας. Ὦ Ζεῦ καὶ θεοί, ὡς ἀληθῶς τέρας ἡ
*servility O Zeus and gods as truly (a)-marvel the*
γραφή, νοῦ πλάσμα, καὶ χειρὸς ζωγράφου τεχνούργημα.
*painting of-mind fiction and of-hand of-painter work-of-art*
Ἀλλ' ἴδωμεν, εἰ δοκεῖ, καὶ τὰ ὑπὲρ τὴν τοῦ μειρακίου
*but let-us-see if (it)-seems-good also the(-things) above the of-the lad*
κεφαλὴν γεγραμμένα." Ἰαμβεῖα δ' ἦν οὕτως ἔχοντα
*head written iambics and were thus running*

Ἔρως τὸ μειράκιον ὅπλα, πῦρ φέρον,
*Eros the lad arms fire bearing*
τόξον, πτερόν, γύμνωσιν, ἰχθύων βέλος.
*bow wing nakedness of-fish dart*

Καὶ ὁ Κρατισθένης "οὐκέτι σοι τὰ τῶν ἐμῶν ἀμάρτυρα 11
*and — Kratisthenes no-longer to-you the(-things) of-the my unwitnessed*
λόγων. Τίς Ἔρως ἠρώτας· ἰδού μοι, βλέπεις αὐτόν· ἀλλ'
*words who Eros you-asked behold to-me you-see him but*
εὐμενής σοι τὰ εἰς πεῖραν ἵκοιτο." Ἐγὼ δὲ πρὸς αὐτὸν
*kindly to-you the(-things) to trial may-be-come I and to him*

"σύ μοι τὰ περὶ τὴν γραφὴν φιλοσόφει καὶ τῇ γραφῇ
*you for-me the(-things) about the painting reason-out and to-the painting*
προσάρμοττε τὸ ἐπίγραμμα"· ὁ δὲ Κρατισθένης "ὁ Ἔρως
*fit the inscription — and Kratisthenes — Eros*
γυμνός, ὁπλοφόρος, πυρφόρος, τοξότης, πτερωτός· ὅπλα
*naked arms-bearing fire-bearing archer winged arms*
φέρει κατ' ἀνδρῶν, πῦρ κατὰ γυναικῶν, τόξα κατὰ θηρῶν,
*he-bears against men fire against women bows against beasts*
κατὰ πτηνῶν τὸ πτερόν, τὴν γύμνωσιν κατὰ τῶν ἐν θαλάσσῃ
*against birds the wing the nakedness against those in (the)-sea*
καὶ καθ' ὅλης αὐτῆς· ἡμέρα καὶ νύξ, ὡς ὁρᾷς, δουλεύει τῷ
*and against whole itself day and night as you-see serve —*
Ἔρωτι· αὗται γὰρ αἱ γυναῖκες, ἃς σὺ θαυμάζεις ὁρῶν."
*to-Eros these for the women whom you marvel-at seeing*
Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην "μηδὲ γινώσκοιτό μοι."
*I and to — Kratisthenes not-even may-be-be-known to-me*
12 Ἦκεν ὁ Σωσθένης, καὶ περὶ τὸ δεῖπνον ἀνακεκλίμεθα· καὶ
*came — Sosthenes and to the dinner we-reclined and*
πάλιν ἡ παρθένος ἐπὶ τῷ λειτουργήματι, καὶ πάλιν τοὺς
*again the maiden at the service and again the*
ὀφθαλμοὺς ἐπ' ἐμέ, καὶ κατὰ μέτωπον στᾶσά μου καὶ
*eyes upon me and in front having-stood of-me and*
τὸν τράχηλον ἠρέμα μικρὸν ὑποκλίνασα καθυποκλέπτει
*the neck gently a-little having-bowed steals*
μοι τὸ προσκύνημα καὶ τοὺς δακτύλους ἐπιθεῖσα τῷ
*to-me the obeisance and the fingers having-placed on-the*
χείλει σιγᾶν ἐπιτρέπεται. Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην
*lip to-be-silent bids I and to — Kratisthenes*
"ὁρᾷς; τί ταῦτα;" ὁ δέ μοι "σίγα" φησίν. Ἦκεν ἡ κόρη
*do-you-see what these(-things) he and to-me be-silent says came the girl*
κιρνῶσα καὶ "χαίροις, συνώνυμέ μοι κήρυξ" ὑπεψιθύρισε·
*mixing and rejoice namesake my herald she-whispered*

καὶ μετ᾽ ἐμὲ τῷ Κρατισθένει κιρνῶσά φησιν, εἴ τι δεῖ
*and after me — to-Kratisthenes mixing says if at-all (one)-must*
φωνὴν ἐκεῖνο καλεῖν τὸ ψιθύρισμα, "ὀφείλω σοι χάριτας."
*(a)-voice that to-call the whisper I-owe to-you thanks*
Τρυφαὶ καὶ πάλιν περὶ τὴν τράπεζαν, οὐκ ἐξ ἀγρῶν, οὐκ 13
*delicacies and again on the table not from fields not*
ἐκ θαλάσσης ἁπλῶς, ὡς οἶδε τρυφᾶν ἠπειρώτης ἀνὴρ καὶ
*from sea simply as knows to-feast (an)-inland man and*
παράλιος, ἀλλ᾽ ὅσας χεὶρ καὶ τέχνη μαγείρων ἐσκεύασεν,
*coastal but as-many-as hand and art of-cooks prepared*
ὡς ἰχθῦς ἐξ ἀγροῦ, καὶ ὡς ἐκ θαλάσσης ταών· οὕτω
*as fish from field and as from sea peacock so*
πολυτελὲς ἡμῖν τὸ δεῖπνον, οὕτω λαμπρόν, οὕτω χάριεν,
*costly to-us the dinner so brilliant so graceful*
ὡς ἡδύνειν καὶ ὀφθαλμοὺς καὶ λαιμόν. Καὶ πάλιν ἐπίνομεν
*as to-please both eyes and gullet and again we-drank*
(τροφὴ γὰρ πολυτελεστέρα ζητεῖ καὶ πόσιν ἀνάλογον), καὶ
*food for costlier seeks also drink proportionate and*
πάλιν ἡ κόρη κιρνῶσα προεκροφᾷ μου τοῦ ποτηρίου, καὶ
*again the girl mixing sips-first from-my the cup and*
διδοῦσα πάλιν φησὶ τῇ συνήθει φωνῇ "ὡς τὴν κλῆσιν ἐκ
*giving(-it) again says with-the usual voice as the name by*
τύχης, οὕτως ἐξ ἔρωτος τὴν πόσιν κοινοῦμαί σοι." Ἱκανῶς
*chance thus from love the drink I-share with-you enough*
οὖν τῆς τραπέζης κατατρυφήσαντες καὶ τροφαῖς ποικίλαις
*then of-the table having-feasted-on both with-foods varied*

καὶ παντοδαποῖς καρυκεύμασι καὶ πόσει καὶ πολυειδέσι
*and manifold sauces and drink and many-shaped*
ποπάνοις λύομεν τὸ συμπόσιον· καὶ ὁ Σωσθένης φησὶν
*cakes we-break-up the banquet and — Sosthenes says*

"ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι·
*(it-is)-good also to-night to-obey*

καὶ τὰ πρόσφορα τῇ νυκτὶ χαρισώμεθα·" καὶ
*and the(-things) fitting to-the night let-us-grant and*
"χαίροις" εἰπών μοι σὺν τῇ Πανθίᾳ ᾤχετο.
*rejoice having-said to-me with — Panthia went-off*
14 Ἡ γοῦν Ὑσμίνη ὑποκριθεῖσα προσκόψαι τὸν πόδα καὶ
*— at-any-rate Hysmine having-pretended to-have-stubbed the foot and*
Σωσθένους πατρὸς καὶ μητρὸς Πανθίας μικρὸν ἐλθοῦσα
*of-Sosthenes father and of-mother Panthia a-little having-come*
δευτέρα "χαίροις" εἰποῦσα καὶ "πείσθητι τῷ πατρὶ"
*second rejoice having-said and obey the father*
ᾤχετο καὶ αὐτή. Ἐγὼ δὲ καὶ Κρατισθένης ἀνακλιθέντες
*went-off also herself I and also Kratisthenes having-reclined*
τὰ περὶ τὸ δεῖπνον καὶ τὴν κόρην ἐκοινούμεθα· ὡς
*the(-things) about the dinner and the girl we-shared how*
προσκυνεῖ με κλέπτουσα τὸ προσκύνημα· ὡς ἐπιτίθησι
*she-bows-to me stealing the obeisance how she-places*
τοὺς δακτύλους τῷ στόματι, σιγᾶν ἐπιτρέπουσα· ὡς
*the fingers on-the mouth to-be-silent bidding how*
διδοῦσά μοι τὸ ποτήριον "χαίροις, συνώνυμέ μοι κήρυξ"
*giving to-me the cup rejoice namesake my herald*
ὑπεψιθύρισεν· ὡς κιρνῶσα προεξερρόφησεν· ὡς εἶπε πάλιν
*she-whispered how mixing she-sipped-first how she-said again*
ἐπὶ δευτέρῳ μοι πόματι "καὶ τὴν πόσιν ἐξ ἔρωτος, ὡς
*at (the)-second my drink also the drink from love as*

καὶ τὴν κλῆσιν ἐκ τύχης κοινοῦμαί σοι”· καὶ τέλος τὸ
*also the name by chance I-share with-you and finally the*
περὶ τὸν πόδα πλάσμα καὶ τὸ “πείσθητι τῷ πατρί”. Καὶ
*about the foot pretense and the obey the father and*
ὁ Κρατισθένης “Ἔρως ὅλην σοι τὴν παρθένον ἐξέκαυσεν,
*— Kratisthenes Eros whole for-you the maiden has-set-ablaze*
Ἔρως ἐτυράννησεν, ἐρώσης ταῦτα ψυχῆς καὶ γλώσσης
*Eros has-tyrannized of-loving these(-things) soul and of-tongue*
πυρπολουμένης ἐξ ἔρωτος· σὺ δὲ μέχρι πότε λειποταξίου
*being-burnt from love you and until when of-desertion*
κριθήσῃ τῷ Ἔρωτι; Ποῖ δὲ καὶ φύγῃς αὐτόν; εἰς
*will-you-be-judged — by-Eros where and even should-you-flee him to*
οὐρανόν; ἀλλὰ φθάνει σε τῷ πτερῷ· εἰς θάλασσαν,
*heaven but he-outstrips you with-the wing to (the)-sea*
ἀποδύσῃ δὲ τὸν χιτῶνα; ὁ δέ σου προαπεδύσατο· κατὰ
*will-you-strip-off and the tunic he and you stripped-first on*
γῆν; τῷ τόξῳ σε φθάνει. Εἶδες τὸν Ἔρωτα; εἶδες
*land with-the bow you he-outstrips did-you-see — Eros did-you-see*
τὸ πῦρ, τὰ τόξα, τὴν γύμνωσιν, τὸ πτερόν; Εἶτα σὺ
*the fire the bows the nakedness the wing then you*
μόνος ἐλεύθερος ἔρωτος; σὺ μόνος;” Ἐγὼ δὲ πρὸς αὐτὸν
*alone free of-love you alone I and to him*
“ἔα με σωφρονεῖν, ὠγαθέ· τοὺς γὰρ σώφρονας
*let me to-be-chaste good-sir the for chaste*

θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς.”
*gods love and hate the wicked*

Καὶ σιγήσαντες περὶ τὸν ὕπνον ἐτράπημεν.
*and having-fallen-silent to the sleep we-turned*

*At midnight Hysminias dreams he is dragged before Eros for his insolence and spared at Hysmine's plea, and Eros crowns him with roses. He wakes and confesses his love to Kratisthenes, then lies sleepless, planning how he will answer every touch at the next dinner. Asleep again, he dreams Hysmine is in his arms, and wakes grieving. In the garden he worships the painted Eros; Kratisthenes reminds him of his father, mother, and city, but at dinner Hysminias is wholly Eros' slave.*

1 Καὶ δή μοι περὶ μέσην νύκτα κατακοιμωμένῳ ἐνύπνιον
*and indeed to-me about mid night sleeping in-sleep*
ἦλθεν ὄνειρος μάλα φοβερός· ὁρῶ γὰρ περὶ τὸ δωμάτιον
*came (a)-dream very fearful I-see for about the chamber*
εἰσιὸν πλῆθος οὐκ εὐαρίθμητον, ὄχλον σύμμικτον ἀνδρῶν,
*entering (a)-multitude not easily-counted (a)-crowd mixed of-men*
γυναικῶν, νεανίσκων, παρθένων· λαμπαδηφόροι πάντες
*women youths maidens torch-bearing all*
τὴν δεξιάν, τὴν γάρ τοι λαιὰν περὶ τὸ στῆθος εἶχον
*(in)-the right the for surely left on the breast they-held*
δουλοπρεπῶς. Καὶ μέσον τὸ περὶ τὸ τοῦ κήπου
*slavishly and in-the-middle the on the of-the garden*
θριγγίον μειράκιον, τὸν γεγραμμένον Ἔρωτα, τὸν βασιλέα,
*wall lad the painted Eros the king*
τὸν φοβερὸν ἐκεῖνον, ἐπὶ τοῦ χρυσοῦ καὶ πάλιν δίφρου
*the fearful that upon the golden also again throne*
καθήμενον· ὡς ἐκ βροντῆς δέ μοι κατερράγη φωνὴ
*sitting as from thunder and on-me broke (a)-voice*
"πρὸς ἡμᾶς τὸν δυνάστην, τὸν ἐλεύθερον, τὸν μὴ
*to us the lord the free(-one) the(-one) not*
φρίσσοντά μου τὸ βέλος, τὸν μὴ φοβούμενον τὸ πτερόν,
*dreading my the dart the(-one) not fearing the wing*
τὸν λοιδοροῦντα τὸ πῦρ, τὸν αἰσχυνόμενόν μου τὴν
*the(-one) reviling the fire the(-one) ashamed-at my the*

γύμνωσιν, τὸν ὡς μειρακίου καταμωκώμενον, τὸν
*nakedness the(-one) as at-(a)-lad mocking the(-one)*
ἀσπαζόμενον τὸν ζωγράφον, εἰ τὸ ῥόδον βδελύξαιτο, τὸν
*greeting the painter that the rose be-loathed the(-one)*
τὴν ἐμὴν φίλην Ὑσμίνην αἰσχύναντα, ὃν ὡς σώφρονα
*the my dear Hysmine having-shamed whom as chaste*
φιλοῦσι θεοί." Ἐγὼ δ' εἰλκόμην ἐλεεινῶς, ὅλος ἔντρομος,
*love gods I and was-dragged pitiably wholly trembling*
ὅλος ἄφωνος, ὅλος νεκρὸς καὶ κατὰ γῆν κείμενος.
*wholly speechless wholly dead and on (the)-ground lying*
"Φεῖσαι, βασιλεῦ" ἀκούω φωνῆς, καὶ μικρὸν πρὸς ἑαυτὸν
*spare king I-hear (a)-voice and a-little to myself*
γεγονὼς καὶ τοὺς ὀφθαλμοὺς ἀνατείνας ὁρῶ τὴν Ὑσμίνην
*having-come and the eyes having-raised I-see — Hysmine*
ἐστεφανωμένην ῥόδῳ τὴν κεφαλήν, ῥόδον τῇ δεξιᾷ
*crowned with-rose (on)-the head (a)-rose in-the right*
φέρουσαν, τῇ λαιᾷ τῶν ποδῶν ἐχομένην τοῦ βασιλέως,
*bearing with-the left of-the feet holding of-the king*
καὶ "φεῖσαι" λέγουσαν "Ὑσμινίου, φεῖσαι, βασιλεῦ, δι'
*and spare saying Hysminias spare king because-of*
ἐμέ· ἐγώ σοι τοῦτον δουλογραφήσω." Καὶ πρὸς τὴν
*me I for-you him will-enroll-as-slave and to the*
παρθένον ὁ βασιλεὺς "διὰ σὲ καὶ ὠργίσθην, διὰ σὲ
*maiden the king because-of you both I-was-angered because-of you*
καὶ διαλλάσσομαι." Ἡ δ' εὐθὺς λαβομένη μου τῆς χειρὸς
*and am-reconciled she and at-once having-taken my the hand*
ἐξανέστησε, θαρρεῖν ἐπιτρέψασα. Καλεῖ με τοίνυν ὁ
*raised(-me) to-take-heart having-bidden calls me therefore the*
βασιλεὺς τῇ χειρὶ καὶ στεφανοῖ μου ῥόδῳ τὴν κεφαλήν·
*king with-the hand and crowns my with-rose the head*
τὸ δὲ παρεστὼς ἅπαν ἠλάλαζεν, ἐκροτάλιζεν, ὠρχεῖτο
*the and standing-by all raised-the-cry rattled danced*

"ὁμόδουλος Ὑσμινίας" λέγον "ἡμῖν, ὁ θρασύς, ὁ παρθένος,
*fellow-slave Hysminias saying to-us the bold(-one) the virgin*
ὁ τῆς δάφνης ἐστεφανωμένος, ὁ τὴν καλὴν
*the(-one) with-the laurel crowned the(-one) the fair*
Ὑσμίνην αἰσχύνας." Ὁ δὲ βασιλεὺς Ἔρως πρὸς τὴν καλὴν
*Hysmine having-shamed the and king Eros to the fair*
Ὑσμίνην εἰπὼν "ἔχεις τὸν ἐραστὴν" ἀπέπτη μου τῶν
*Hysmine having-said you-have the lover flew-away my from-the*
ὀφθαλμῶν, ὅλος περὶ μέσην μου τὴν καρδίαν πεσών.
*eyes wholly into (the)-middle my the heart having-fallen*
2 Συναπέπτη δέ μου καὶ ὁ ὕπνος εὐθύς, καὶ τεθορυβημένος
*flew-away-with(-it) and from-me also the sleep at-once and troubled*
ὅλος ἀνεκάθισα τῆς στρωμνῆς καὶ ἤμην ὅλος ἐξεστηκώς,
*wholly I-sat-up on-the bed and I-was wholly beside-myself*
ὅλος ὅλον κατὰ νοῦν ἑλίττων τὸν ὄνειρον. Πυκνὸν
*wholly whole in mind turning-over the dream rapidly*
κατεπάλλετό μοι τὸ περικάρδιον, καὶ ἐπείχετο τὸ ἄσθμα,
*throbbed my the heart-region and was-held the breath*
καὶ πρὸς τὸν Κρατισθένην ἔλεγον "ὦ Κρατίσθενες, ὦ
*and to — Kratisthenes I-said O Kratisthenes O*
Κρατίσθενες." Ὁ δ' ἀνεπήδησε τῆς στρωμνῆς, ἐγὼ δὲ
*Kratisthenes he and leapt-up from-the bed I and*
πάλιν εἶπον "ὠλώλειν, Κρατίσθενες." Ὁ δ' ἀσανδάλῳ ποδὶ
*again said I-was-lost Kratisthenes he and with-sandalless foot*
πρὸς τὴν ἐμὴν ἐπεπήδησε κλίνην καὶ τῆς δεξιᾶς με χειρὸς
*to the my leapt couch and by-the right me hand*
πράως λαβόμενος "τί πάσχεις, ὁ καλὸς Ὑσμινίας" φησίν·
*gently having-taken what do-you-suffer the fine Hysminias he-says*
ἐγὼ δ' ἐσίγων. Ὁ δέ μοι δακρύσας πάλιν φησὶ "τί
*I and was-silent he and over-me having-wept again says what*
πάσχεις, Ὑσμινία; Ὑσμινία, σιγᾷς;" ἐγὼ δ' "ὠλώλειν"
*do-you-suffer Hysminias Hysminias are-you-silent I and I-was-lost*

εἶπον “Κρατίσθενες· Ὑσμίνη μ᾽ ἀπόλλυσιν, Ὑσμίνη με
*said Kratisthenes Hysmine me destroys Hysmine me*
σώζει· ὅλην φαρέτραν Ἔρως ἐξεκένωσέ μου κατὰ ψυχῆς,
*saves whole quiver Eros emptied my against soul*
ὅλην μου τὴν καρδίαν ἐνέπρησεν. Εἴ σοι παρῆν ἰδεῖν,
*whole my the heart he-burned if to-you it-were-possible to-see*
εἶδες αὐτὸν σὺν αὐτοῖς ὅπλοις, σὺν αὐτῇ φαρέτρᾳ,
*you-would-have-seen him with very arms with very quiver*
σὺν ὅλῳ πυρὶ τὴν ἐμὴν εἰσδύντα ψυχήν. Οὐκέτι Διασίων
*with whole fire the my having-entered soul no-longer of-(the)-Diasia*
κῆρυξ ἐγώ, οὐκέτι θεράπων Διός, οὐκέτι παρθένος. Πόλεμος
*herald I no-longer servant of-Zeus no-longer virgin war*
περὶ τὴν ἐμὴν ἐρράγη καρδίαν ἐξ Ἔρωτος καὶ Διός. Ὁ
*around the my broke-out heart from Eros and Zeus —*
μὲν οὖν δὴ Ζεὺς ὡς ἐξ οὐρανοῦ μεγάλα βροντᾷ καὶ
*indeed then indeed Zeus as from heaven greatly thunders and*
καταβροντᾷ· ὁ δ᾽ ὡς ἀπὸ γῆς ὅλας ἑλεπόλεις κινεῖ
*thunders-down the(-other) and as from earth whole siege-engines moves*
καὶ κατασείει μου τὴν ἀκρόπολιν. Ὁ μὲν ὡς ἐκ
*and shakes-down my the citadel the(-one) indeed as from*
νεφῶν ἀστραπηβολεῖ, ὁ δ᾽ ὅλους κρατῆρας πυρὸς ὡς
*clouds hurls-lightning the(-other) and whole craters of-fire as*
ἀπὸ γῆς ὑπανάπτει μοι. Πόλις ἐγώ, καὶ πόλις Διός· ἀλλ᾽
*from earth kindles-beneath me (a)-city I and (a)-city of-Zeus but*
Ἔρως πολιορκεῖ με καὶ πρὸς ἑαυτὸν ὅλον μεθέλκεται. Διὸς
*Eros besieges me and to himself whole drags-over of-Zeus*
ἐγὼ πηγὴ μεστὴ χαρίτων παρθενικῶν· ἀλλ᾽ Ἔρως πρὸς
*I (a)-spring full of-graces virginal but Eros to*
πηγὴν Ἀφροδίτης μετοχετεύει με. Διασίων κῆρυξ ἦκον
*(the)-spring of-Aphrodite diverts me of-(the)-Diasia herald I-came*
ἐξ Εὐρυκώμιδος, καὶ νῦν Ἀφροδισίων ἐξ Αὐλικώμιδος·
*from Eurykomis and now of-(the)-Aphrodisia from Aulikomis*

ἐκ δάφνης τότε, καὶ νῦν ἐκ ῥόδων στεφανοῦμαι τὴν
*with laurel then and now with roses am-crowned (on)-the*
κεφαλήν. Τίς οὖν οὕτω θρασὺς τὴν ψυχήν, στερρὸς τὴν
*head who then so bold (in)-the soul firm (in)-the*
καρδίαν καὶ τὸ στέρνον σιδήρεος, ὡς καὶ πρὸς μάχην
*heart and (in)-the breast iron as even against battle*
ἀντέχειν θεῶν, καὶ ὅλους φέρειν αὐτοὺς πολιορκοῦντας
*to-hold-out of-gods and whole to-bear them besieging*
καὶ ῥήσσοντας; Οὐκ ἔχω σθένειν, Κρατίσθενες."
*and breaking not I-can be-strong Kratisthenes*
3 Ὁ δὲ "πῶς οὕτω" φησὶν "ἐξ ὅλου παρθένου καὶ
*he and how thus says from (a)-whole virgin and*
κήρυκος Διὸς καὶ ὅλου σώφρονος ὅλον ἀναπνεῖς
*herald of-Zeus and (a)-whole chaste(-one) whole do-you-breathe-out*
μοι τὸν Ἔρωτα, μύστης αὐτόματος γεγονὼς καὶ
*to-me — Eros (an)-initiate self-taught having-become and*
ὅλος διδάσκαλος;" ἐγὼ δὲ πρὸς αὐτὸν "Ἔρως αὐτός
*wholly teacher I and to him Eros himself*
με μυσταγωγεῖ, Ἔρως αὐτὸς μεταπλάττει με· χεὶρ
*me initiates Eros himself refashions me (the)-hand*
Ἔρωτος τὴν ἐμὴν ταύτην κεφαλὴν ἐστεφάνωσε καὶ
*of-Eros the my this head crowned and*
μετεστεφάνωσε." Καὶ τὰ περὶ τὸν ὕπνον ἐξηγούμην
*re-crowned and the(-things) about the sleep I-recounted*
αὐτῷ, τὴν προπομπὴν τοῦ θεοῦ, τὸ ποικίλον τῆς
*to-him the procession of-the god the variety of-the*
προπομπῆς, τὰς ἐν χερσὶ λαμπάδας, τὸν ἐπὶ δίφρου θεόν,
*procession the in hands torches the on throne god*
τὸν ἐπ' ἐμὲ θυμόν, τὴν ὡς ἐξ οὐρανοῦ καταρραγεῖσαν
*the against me anger the as from heaven having-broken-down*
φωνήν, τὸν ἐμὸν ἑλκυσμόν, τὴν ἐμὴν πάθησιν, τὴν τῆς
*voice the my dragging the my suffering the —*

Ὑσμίνης φωνήν, τὴν ὑπὲρ ἐμοῦ πρεσβείαν, τὴν τοῦ
*of-Hysmine voice the on-behalf-of me pleading the of-the*
θεοῦ συγγνώμην καὶ ἐπὶ πᾶσι τὸν στέφανον. Ὁ δ' "οὐδὲν
*god pardon and upon all the crown he and nothing*
καινὸν" φησὶ "πέπονθας. Ἐρᾷς· οὐ μόνος, ἀλλὰ σὺν
*strange says you-have-suffered you-love not alone but with*
πολλοῖς βροτῶν· καὶ τὰ πρὸς ἔρωτας εὐτυχεῖς,
*many of-mortals and (in)-the(-things) for loves you-are-fortunate*
ἐρωμένην ἔχων οὕτω καλὴν καὶ ὅλην ἐρῶσαν καὶ ὑπηρέτην
*(a)-beloved having so fair and wholly loving and (as)-helper*
τὸν Ἔρωτα. Καλὸν δέ σοι καὶ ὕπνου τυχεῖν· ὀφθαλμὸς
*— Eros good and for-you also sleep to-obtain (an)-eye*
γὰρ ἐξ ἔρωτος ἀγρυπνήσας ἐλέγχει ψυχὴν ἐρῶσαν· καὶ
*for from love having-kept-awake exposes (a)-soul loving and*
ὥσπερ γλῶσσα φιλοκέρτομος οὐκ οἶδε κρύπτειν μυστήριον,
*just-as (a)-tongue mocking not knows to-hide (a)-secret*
οὕτως ὀφθαλμὸς ὕπνου στερηθεὶς φαυλίζει τὸν ἔρωτα."
*thus (an)-eye of-sleep having-been-deprived cheapens the love*
Καὶ ὁ μὲν Κρατισθένης εὐθὺς ὑπνώττων ἀνέργχεν, ἐμοῦ 4
*and — indeed Kratisthenes at-once sleeping snored my*
δὲ τοὺς ὀφθαλμοὺς ὁ ὕπνος ἐξέφυγε καὶ ἐδόκουν νὴ
*and the eyes the sleep fled and I-seemed by*
τοὺς θεοὺς ὅλας ὀρύττεσθαι τὰς πλευράς, καὶ νὴ τὸν
*the gods whole to-be-dug (in)-the sides and by —*
Ἔρωτα τὴν στρωμνὴν ἀκάνθινον εἶχον, καὶ ὡς ἐπὶ πυρᾶς
*Eros the bed thorny I-had and as upon (a)-pyre*
ὀπτούμενος ἤμην πυκνὰ στρεφόμενος, ὥσπερ τι θῦμα
*being-roasted I-was often turning like some offering*
καινὸν ἐξωπτημένον τῷ Ἔρωτι. Τὴν ἡμέραν ἐπεθύμουν
*strange roasted — to-Eros the day I-longed*
ἰδεῖν· ὠνειροπόλουν τὴν τράπεζαν καὶ τὴν Ὑσμίνην
*to-see I-dreamed-of the table and — Hysmine*

κιρνῶσαν "ἂν θλίψῃ" λέγων "τὸν δάκτυλον, ἀντιθλιβήσεται
*mixing if she-presses saying the finger she-will-be-pressed-back*
γενναιότερον. Ἀλλ' ἔθλιψε χθές. Ναὶ θλιβέτω καὶ πάλιν.
*more-nobly but she-pressed yesterday yes let-her-press also again*
Ἂν θλίψῃ, θλιβήσεται· εἰ δ' οὐ θλίψει, θλιβήσεται. Ἂν
*if she-presses she-will-be-pressed if and not she-will-press she-will-be-pressed if*
τὸν πόδα ταύτης ἐπιθήσῃ μου τῷ ποδί, τοῖν ποδοῖν ἐγὼ
*the foot her she-places on-my the foot of-the(-two) feet I*
προσεπιθήσω τὸν ἕτερον· ἂν 'χαίροις' εἴπῃ, 'ἑκατονταχαίροις'
*will-place-on(-hers) the other if rejoice she-says hundredfold-rejoice*
ἀκούσει· ἂν τὸ προσκύνημα κλέψῃ, προσκυνηθήσεται
*she-will-hear if the obeisance she-steals she-will-be-bowed-to*
φανερῶς· ἂν προεκροφῇ μου τοῦ ποτηρίου, ὅλην
*openly if she-sips-first from-my the cup whole*
ἐκροφήσω τὴν κόρην αὐτός· ἂν ἐπέχῃ τὴν κύλικα, καὶ
*I-will-drink-up the girl myself if she-holds-back the cup also*
τὴν χεῖρα τῆς κόρης τῷ ποτηρίῳ συνεφελκύσομαι· ἂν
*the hand of-the girl with-the cup I-will-draw-along if*
τοὺς πόδας συνέχῃ καὶ συνέχουσα θλίβῃ καὶ θλίβουσα φιλῇ
*the feet she-holds and holding presses and pressing kisses*
καὶ φιλοῦσα κλέπτῃ τὸ φίλημα, συνέξω κἀγὼ καὶ θλίψω
*and kissing steals the kiss will-hold I-too and will-press*
καὶ θλίβων φιλήσω, πλὴν οὐχ ὑποκλέψω τὸ φίλημα·
*and pressing will-kiss however not will-steal the kiss*
ἂν γαργαλίσῃ μου τὸν πόδα, καταγαργαλίσω τὴν κόρην
*if she-tickles my the foot will-tickle the girl*
αὐτός, καὶ πείσω ταύτην ἐξ ἡδονῆς ἀνακαγχάσαι καὶ
*myself and will-persuade her from pleasure to-burst-out-laughing and*
ἔρωτος· ἂν μετὰ τὸ δεῖπνον ἀλγήσῃ τὸν πόδα, ἂν δευτέρα
*love if after the dinner she-hurts (in)-the foot if second*
τοῦ πατρὸς ἐρχομένη μονωθῇ τῆς μητρός, ἐπιλάβωμαι
*to-the father coming she-is-left-alone by-the mother let-me-take-hold*

τοῦ πληγέντος ποδός, καταφιλήσω τὸ τραῦμα, τὴν
*of-the struck foot will-kiss the wound the*
πληγὴν πολυπραγμονήσω, ζητήσω τὰ πρόσφορα φάρμακα,
*blow will-examine will-seek the fitting remedies*
κατεπιθήσω ταῦτα, τὴν οὐλὴν καταμαλάξω πᾶσαν ἰατρικῶς,
*will-lay-on these the scar will-soften all doctorly*
ἐπιστημονικῶς ἐρευνήσω καὶ ὅλην ἰάσομαι. Οὐκέτι τὸν
*expertly will-search and whole will-heal no-longer the*
θυμὸν ὑφέξω τοῦ Ἔρωτος, οὐκέτι κατονειδισθήσομαι
*anger I-will-undergo — of-Eros no-longer I-will-be-reproached*
τὸν παρθένον, οὐκέτι τὸν σώφρονα κατειρωνευθήσομαι
*(as)-the virgin no-longer (as)-the chaste(-one) I-will-be-mocked*
καὶ τἆλλ' ὁπόσα νὴ τὸν Ἔρωτα πέπονθα. Ἂν τὰ
*and the-rest as-many-as by — Eros I-have-suffered if the(-things)*
πρόσφορα τῇ νυκτὶ ζητήσῃ, συγκοιμηθήσομαι τῇ παρθένῳ,
*fitting to-the night she-seeks I-will-sleep-with the maiden*
καὶ νήδυμον τὸν ὕπνον ἀνακηρύξω ποιητικῶς. Ἤδη δέ
*and sweet the sleep will-proclaim poetically already and*
μοι τοῖς ὀφθαλμοῖς σπένδεται, καὶ ἤδη κοιμῶμαι."
*to-me with-the eyes makes-truce and already I-sleep*
Ἅμα γοῦν ἐγὼ περὶ τὸν ὕπνον καὶ ἡ κόρη περὶ 5
*at-the-same-time at-any-rate I about the sleep and the girl about*
ἐμέ, καὶ προφθάνει τὴν ἡμέραν καὶ τὸ δεῖπνον ἡ νύξ, καὶ
*me and anticipates the day and the dinner the night and*
πάνθ' ὅσ' ἐζήτουν ἰδεῖν παθεῖν τε καὶ δρᾶσαι, ταῦθ'
*all as-much-as I-sought to-see to-suffer both and to-do these(-things)*
ὡς ἐν κατόπτροις τοῖς ὀνείροις καὶ εἶδον καὶ ἔπαθον· οὐ
*as in mirrors in-the dreams both I-saw and suffered not*
γάρ μοι καὶ τὸ δρᾶσαι τὸ δαιμόνιον ἐχαρίσατο. Ὅλον
*for to-me also the to-do the divinity granted (a)-whole*
δεῖπνον ἀναπλάττει μοι τὸ ἐνύπνιον, καὶ συνήθως ἐδόκουν
*dinner refashions for-me the dream and as-usual I-seemed*

ἀνακεκλίσθαι, καὶ τὴν κόρην κιρνῶσαν ὁρᾶν. Εἰ μὲν
*to-have-reclined and the girl mixing to-see whether indeed*
οὖν Σωσθένης καὶ Πανθία συνήθως προέπιον, ἀκριβῶς οὐκ
*then Sosthenes and Panthia as-usual drank-first exactly not*
οἶδα νὴ τὸν ἐν ὕπνοις Ἔρωτα· πρὸς ἐμὲ δ' ἦκεν ἡ κόρη
*I-know by the in sleep Eros to me and came the girl*
κιρνῶσα, καὶ ὅλην αὐτὴν τοῖς ὀφθαλμοῖς μου κατέπινον,
*mixing and whole her with-the eyes my I-drank-down*
ὅλην ἐξερρόφουν, ὅλην πρὸς τὴν ψυχὴν ἐπεβίβαζον. Ἡ δέ
*whole I-drained whole to the soul I-brought-aboard she and*
μοι "λάβε" φησὶ "τὸ ποτήριον." Ἐγὼ δὲ πάλιν ἀτενῶς
*to-me take says the cup I and again intently*
ἐώρων αὐτήν· ἐκτείνω δ' ὅμως τὴν χεῖρα λαβεῖν καὶ
*looked-at her I-stretch-out and nevertheless the hand to-take(-it) and*
τῆς παρθένου θλίβω τὸν δάκτυλον καὶ τὸν πόδα τῷ
*of-the maiden I-press the finger and the foot with-the*
ποδί μου προσεπιθλίβω "χαίροις" ὑποψιθυρίσας τῇ κόρῃ
*foot my I-press-on rejoice having-whispered to-the girl*
λεπτὸν καὶ οἷον ἐκείνη προεψιθύριζεν· ἡ δ' οὐκ ἀντεῖπεν
*softly and such-as she had-whispered-before she and not spoke-against*
οὐδ' ἀντέδρασεν, ἀλλ' ὡς ἐξ αἰδοῦς ἠρυθραίνετο. Τροφαὶ
*nor acted-against but as from shame blushed foods*
ποικίλαι συνήθως περὶ τὴν τράπεζαν· ἐγὼ δ' ὡς ἀληθῶς
*varied as-usual on the table I and as truly*
ἐπείνων κατ' ὄνειρον, καὶ ὅλος κατ' ὄνειρον ἐτρεφόμην·
*I-hungered in dream and wholly in dream fed*
τροφὴ δέ μοι καὶ πόσις καὶ ὀφθαλμοῦ καὶ ψυχῆς Ὑσμίνη
*food and to-me and drink both of-eye and of-soul Hysmine*
παρθένος, πρὸς ἣν καὶ μόνην ἀτενέστερον ἔβλεπον.
*(the)-maiden at whom also alone more-intently I-looked*

ἦκε πάλιν ἡ κόρη προτεινομένη τὸ ἔκπωμα· πότου γὰρ
*came again the girl holding-out the cup of-drinking for*
ἐκάλει καιρός· ἐγὼ δὲ λαβὼν καὶ μικρὸν ἐκροφήσας
*called (the)-time I and having-taken(-it) and a-little having-sipped*
τὸ πᾶν ἀντιδέδωκα πρὸς τὴν παρθένον εἰπών "κοινοῦμαί
*the whole gave-back to the maiden having-said I-share*
σοι τὸ ποτήριον." Τέλος εἶχε τὸ δεῖπνον, ὅ μοι καθ'
*with-you the cup end had the dinner which for-me in*
ὕπνους ὄνειρος ἐρωτικῶς ἡτοιμάσατο ἢ μᾶλλον Ἔρως
*sleep (a)-dream amorously prepared or rather Eros*
ἐν ὀνείροις ἐσκεύασε. Καὶ ἡμεῖς περὶ τὸ δωμάτιον, καὶ
*in dreams furnished and we to the chamber and*
Σωσθένης καὶ Πανθία συνήθως ἡμῶν ἀπηλλάττοντο· ἐγὼ
*Sosthenes and Panthia as-usual from-us departed I*
δὲ καὶ Κρατισθένης ἀνακεκλίμεθα. Καὶ δὴ τὴν Ὑσμίνην
*and also Kratisthenes reclined and indeed — Hysmine*
περὶ τὴν κλίνην ὁρῶ τὴν ἐμήν, ἣν μηδὲν αἰδεσθεὶς
*by the couch I-see the my whom nothing having-been-ashamed*
ὅλαις ἐφέλκομαι ταῖς χερσί, καὶ τῇ κλίνῃ παρακαθίζω·
*with-whole I-draw-to-me the hands and on-the couch I-seat(-her)-beside*
Ἔρως γὰρ ἀναιδείας πατήρ. Ἡ δ' αἰδεῖται μὲν ὡς
*Eros for of-shamelessness (the)-father she and is-ashamed indeed as*
παρθένος καὶ τὴν μὴ πειθομένην τὰ πρῶτα καθυποκρίνεται,
*(a)-maiden and the not consenting(-one) the first plays*
νικᾶται δ' ὅμως ὡς παρθένος ἀνδρός, ὅτι καὶ πρὸ
*is-overcome and nevertheless as (a)-maiden by-(a)-man because also before*
τῆς ἐμῆς ταύτης χειρὸς ἐξ Ἔρωτος ἥττηται.
*the my this hand by Eros she-has-been-defeated*
Καὶ ἡ μὲν τοὺς ὀφθαλμοὺς ἐπὶ τὴν γῆν ἐπαττάλευσεν, 6
*and she indeed the eyes upon the ground nailed*
ἐγὼ δὲ τοὺς ἐμοὺς ὅλους ἐπὶ τὸ τῆς κόρης ἀνεσκολόπισα
*I and the my(-eyes) wholly upon the of-the girl impaled*

πρόσωπον· ἦν γὰρ πλῆρες φωτός, πλῆρες χάριτος,
*face it-was for full of-light full of-grace*
πλῆρες ἡδονῆς· ὀφρὺς μέλαινα, τὸ μέλαν ἄκρατον, ἶρις
*full of-pleasure brow black the black unmixed (a)-rainbow*
τὸ σχῆμα ἢ κατὰ σελήνην μηνοειδές· ὄμμα μέλαν,
*(in)-the shape or like (the)-moon crescent eye black*
γοργὸν καὶ μάλα φαιδρόν· ὁ κύκλος αὐτῷ κατὰ μέρος
*keen and very bright the circle of-it in part*
ὠξύνετο· καὶ ἦν τὸ σχῆμα τοῖς ὀφθαλμοῖς κωνοειδὲς
*was-sharpened and was the shape to-the eyes cone-like*
μᾶλλον ἢ κυκλοειδές· ἡ περὶ τὴν ἐπιβλεφαρίδα θρὶξ
*rather than circular the on the eyelid hair*
παντελῶς ἐμελαίνετο· καὶ ἦν ὁ τῆς κόρης ὀφθαλμὸς
*wholly was-black and was the of-the girl eye*
ὄντως Ἔρωτος κάτοπτρον. Παρειὰ λευκή· τὸ λευκὸν
*truly of-Eros mirror cheek white the white*
ἄκρατον, ἐς ὅσον οὐκ ἠρυθραίνετο· τὸ μέσον ἐρυθρόν· τὸ
*unmixed to as-far-as not it-reddened the middle red the*
ἐρυθρὸν διεσπασμένον καὶ οἷον διεσπαρμένον, οὐχ οἷον
*red drawn-apart and as-it-were scattered not such-as*
πλάττει χεὶρ καὶ τέχνη βάπτει καὶ νὺξ μαραίνει καὶ ὕδωρ
*fashions hand and art dyes and night withers and water*
ἐκπλύνει. Τὸ στόμα συμμέτρως διέρρηκται· τὸ πολὺ τῆς
*washes-off the mouth proportionately has-been-parted the most of-the*
σαρκὸς τῶν χειλέων διέρριπται, καὶ ἄμφω τὼ χείλη
*flesh of-the lips has-been-spread and both the(-two) lips*
φοινίσσεται. Εἴποις ἰδὼν ῥόδον ἐκθλῖψαι τὴν κόρην
*are-crimsoned you-would-say having-seen (a)-rose to-have-squeezed-out the girl*
τοῖς χείλεσι. Χορὸς ὀδόντων λευκός, συστοιχίαν φέρων
*with-the lips (a)-chorus of-teeth white (a)-row bearing*
εὐάρμοστον καὶ πρὸς τὸ χεῖλος ἀνάλογον, ὡς παρθένοι
*well-fitted and to the lip proportioned as maidens*

τοῖς χείλεσιν οἰκουρούμενοι. Ὅλον τὸ πρόσωπον κύκλος
*by-the lips kept-at-home whole the face (a)-circle*
ἀνεπισφαλής· ἡ ῥὶν κέντρου λόγον ἐπέχει πρὸς ὅλον τὸ
*unfaltering the nose of-center place holds relative-to whole the*
κύκλωμα, καὶ εἰ μὴ φρίσσω τὸν Ἔρωτα καὶ μᾶλλον ἐκ
*circle and if not I-dread — Eros and more from*
τῆς πείρας αὐτῆς, εἶπον ἂν — ἀλλὰ σιγήσω τὸ
*the trial itself I-would-have-said — but I-will-keep-silent the*
ἐφεξῆς, ἵνα μὴ καὶ πάλιν καταβροντήσῃ με τὸ μειράκιον.
*next that not also again thunder-down me the lad*
Ἅπτομαι τῆς χειρός, ἡ δ' ἐπιχειρεῖ συνάγειν ταύτην καὶ 7
*I-touch the hand she and tries to-draw-in it and*
περικαλύπτειν εἰς τὸ χιτώνιον· ἀλλ' ὅμως κἂν τούτῳ
*to-cover in the tunic but nevertheless even in-this*
νικῶ. Ἐφέλκομαι ταύτην περὶ τὸ χεῖλος, καταφιλῶ καὶ
*I-win I-draw it to the lip I-kiss and*
καταδάκνω πυκνά· ἡ δ' ἀντεφέλκεται καὶ ὅλη συστέλλεται.
*bite often she and draws-back and wholly shrinks*
Περιπτύσσομαι καὶ τὸν τράχηλον καὶ τὰ χείλη τοῖς
*I-embrace also the neck and the lips on-the*
χείλεσιν ἐπιτίθημι καὶ φιλημάτων πληρῶ καὶ καταστάζω
*lips I-set and with-kisses fill(-them) and I-instill*
τὸν ἔρωτα· ἡ δ' ὑποπλαττομένη συνάγειν αὐτὰ δάκνει
*the love she and feigning to-draw-in them bites*
μου τὸ χεῖλος ἐρωτικῶς καὶ ὑποκλέπτει τὸ φίλημα. Τοὺς
*my the lip amorously and steals the kiss the*
ὀφθαλμοὺς κατεφίλησα καὶ ὅλον εἰς τὴν ψυχὴν ἀνιμησάμην
*eyes I-kissed and whole into the soul drew-up*
τὸν ἔρωτα· ὀφθαλμὸς γὰρ ἔρωτος πηγή. Γίνομαι καὶ περὶ
*the love (the)-eye for of-love (the)-spring I-come also to*
τὸ στέρνον τῆς κόρης· ἡ δ' ἀντέχεται μάλα γενναίως καὶ
*the breast of-the girl she and resists very nobly and*

ὅλη συστέλλεται καὶ ὅλῳ σώματι περιτειχίζει τὸν μαστὸν
*wholly shrinks and with-whole body walls-around the breast*
ὡς πόλις ἀκρόπολιν, καὶ χερσὶ καὶ τραχήλῳ καὶ πώγωνι
*as (a)-city (its)-citadel and with-hands and neck and chin*
καὶ γαστρὶ τοὺς μαστοὺς καταφράττει καὶ περιφράττει·
*and belly the breasts fences and fences-around*
καὶ κάτωθεν μὲν ἀνέχει τὰ γόνατα, ὡς ἐξ ἀκροπόλεως
*and from-below indeed holds-up the knees as from (a)-citadel*
δὲ τῆς κεφαλῆς ἀκροβολίζει τὸ δάκρυον, μονονοὺ λέγουσα
*and of-the head hurls the tear all-but saying*
"ἢ φιλῶν μαλαχθῇ μου τοῖς δάκρυσιν ἢ μὴ φιλῶν
*either loving he-may-be-softened my by-the tears or not loving*
ὀκνήσει τὸν πόλεμον." Ἐγὼ δὲ τὴν ἧτταν αἰδούμενος
*he-will-shrink-from the war I and the defeat ashamed-of*
ἀντέχομαι βιαιότερον καὶ μόλις νικῶ, καὶ νικῶν ἡττῶμαι
*hold-on more-forcibly and barely I-win and winning I-am-defeated*
καὶ ὅλος ἀμβλύνομαι. Ἅμα γὰρ ἡ χεὶρ περὶ τὸν τῆς
*and wholly am-blunted at-once for the hand on the of-the*
κόρης μαστόν, καὶ χαυνότης ὅλη περὶ τὴν ἐμὴν καρδίαν
*girl breast and (a)-slackness whole over the my heart*
ἐπέρρευσεν. Ἤλγουν, ἠθύμουν, καινόν τινα τρόμον ἔτρεμον,
*flowed I-ached I-despaired strange a trembling I-trembled*
ἠμβλυνόμην τὴν ὄψιν, ἐμαλθακιζόμην τὴν ψυχήν, τὴν
*I-was-dimmed (in)-the sight I-was-softened (in)-the soul (in)-the*
ἰσχὺν ἐχαυνούμην, ἐνωθρευόμην τὸ σῶμα, ἐπείχετό μοι
*strength I-was-slackened I-was-sluggish (in)-the body was-held my*
τὸ ἄσθμα, πυκνὸν κατεπάλλετό μοι τὸ περικάρδιον, καί
*the breath rapidly throbbed my the heart-region and*
τις ὀδύνη γλυκάζουσα κατεπέδραμέ μου τὰ μέλη καὶ
*a pain being-sweet ran-over my the limbs and*
οἷον ὑπεγαργάλισε, καὶ ὅλον με κατέσχεν ἄρρητος
*as-it-were tickled and whole me seized unspeakable*

ἔρως ἀνεκλάλητος, ἄφραστος· καί τι πέπονθα, νὴ τὸν
*love unutterable inexpressible and something I-have-suffered by —*
Ἔρωτα, οἷον οὐδέποτε πέπονθα. Εὐθὺς οὖν ἐξέπτη μου
*Eros such-as never I-have-suffered at-once then flew-out my*
τῶν χειρῶν ἡ κόρη, ἢ μᾶλλον εἰπεῖν οἰκειότερον ἐκεῖναι
*from-the hands the girl or rather to-say more-properly they*
νωθρῶς οὕτω καὶ μαλακῶς τῆς κόρης ἐξέπεσον· ἐξέπτη
*sluggishly so and softly from-the girl fell-away flew-out*
δέ μου καὶ ὁ ὕπνος τῶν ὀφθαλμῶν, καὶ ἠνιώμην νὴ
*and my also the sleep from-the eyes and I-was-grieved by*
τὸν Ἔρωτα οὕτω καλὸν ἀπολέσας ὄνειρον καὶ τῆς ἐμῆς
*— Eros so fine having-lost (a)-dream and from-the my*
φίλης Ὑσμίνης ἀποσπασθείς· καὶ ἤθελον πάλιν ὑπνοῦν
*dear Hysmine having-been-torn-away and I-wished again to-sleep*
καί τι πάσχειν ἐρωτικόν, οἷον καθ' ὕπνους ἔπαθον.
*and something to-suffer amorous such-as in sleep I-suffered*
Ἐπεὶ δ' οὐ συνεχωρούμην τῷ Κρατισθένει καὶ τῷ 8
*since and not I-was-allowed — by-Kratisthenes and by-the*
καιρῷ, γίνομαι πάλιν περὶ τὸν κῆπον· πρὸ γὰρ τῆς
*occasion I-go again to the garden before for the*
θύρας ἦν τοῦ δωματίου. Καὶ ἤμην ὅλος ἐωνημένος τῇ
*door it-was of-the chamber and I-was wholly bought by-the*
κόρῃ, καὶ ψυχὴν καὶ σῶμα καὶ ὀφθαλμούς, καὶ ὅλος
*girl both soul and body and eyes and wholly*
βεβακχευμένος ἐξ ἔρωτος. Ἥκω τοίνυν περὶ τὸν ἐν τῷ
*maddened by love I-come therefore to the in the*
κήπῳ θεόν, τὸν γεγραμμένον Ἔρωτα· καὶ πρῶτα μὲν
*garden god the painted Eros and first indeed*
προσκυνῶ, τοῦτο δὴ τὸ δουλοπρεπές, εἶτα καὶ λοιδορῶ
*I-bow-down this indeed the slavish(-thing) then also I-revile*
τὸν ζωγράφον ὅτι μὴ τὴν Ὑσμίνην τῷ χορῷ τῶν
*the painter because not — Hysmine in-the chorus of-the*

δούλων ἐγγράψαιτο, παρθένον οὕτω καλήν, οὕτως ὡραίαν,
*slaves he-painted (a)-maiden so fair so lovely*
οὕτω πνέουσαν ἔρωτος, οὕτω φιλοῦσαν Ἔρωτα, καὶ
*so breathing of-love so loving Eros and*
φιλουμένην ἐξ Ἔρωτος· τοὺς ὀφθαλμοὺς ὅλους τείνω πρὸς
*loved by Eros the eyes wholly I-strain toward*
τὴν γραφὴν καί φημι πρὸς τὸν Ἔρωτα "τῆς ἐξουσίας
*the painting and say to — Eros what power*
σου, βασιλεῦ. Οὐκέτι παλινοστήσω πρὸς Εὐρυκώμιδα·
*your king no-longer I-will-return to Eurykomis*
οὐκέτι προσπόλοις Διὸς συνταχθήσομαι· ἔχει με πολίτην
*no-longer with-servants of-Zeus I-will-be-ranked has me (as)-citizen*
Αὐλίκωμις ἐξ ἐρωτικῶν γραφῶν πολιτογραφούμενον."
*Aulikomis from amorous paintings enrolled-as-citizen*

9 Καὶ ὁ Κρατισθένης "εἶτ' οὐκ αἰδῇ τὸ κηρύκειον; οὐκ
*and — Kratisthenes then not do-you-respect the herald's-staff not*
αἰδῇ τὰ Διάσια, ὧν κήρυξ ἦκες ἐπ' Αὐλικώμιδα; οὐκ αἰδῇ
*do-you-respect the Diasia of-which herald you-came to Aulikomis not do-you-respect*
τὸν Θεμιστέα πατέρα τὸν σὸν καὶ τὴν τῶν πολλῶν ἐτῶν κληροῦχον
*— Themisteus father the your and the of-the many years holder*
Διάντειαν; μή μοι δύσερως εἴης. Καλὴ μὲν Ὑσμίνη καὶ λίαν καλή, καὶ
*Dianteia not to-me love-sick may-you-be fair indeed Hysmine and very fair and*
νέμεσις οὐδεμία τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·
*blame none such about (a)-woman long time pains to-suffer*

ἀλλ' ὁ πατὴρ ἐπὶ σοὶ τὰς ἐλπίδας σαλεύει· σὲ γήρως ἔχει
*but the father on you the hopes rides you of-old-age he-has-(as)*
βακτηρίαν καὶ ψύχους θέρμην καὶ καύματος ζέφυρον.
*staff and of-cold warmth and of-heat west-wind*

Εἶτ᾽ οὐκ ἐλεεῖς τὴν μητέρα, ἥτις σε πνεῖ καὶ λαλεῖ καί
*then not do-you-pity the mother who you breathes and speaks and*
σοι γέγηθε καὶ τῶν τοῦ γήρως κακῶν ἐπιλήθεται; μὴ
*in-you rejoices and the of-the old-age ills forgets not*
πρὸς θεῶν, Ὑσμινία, μὴ πρὸς Διός, οὗ κήρυξ ἦκες ἐξ
*by (the)-gods Hysminias not by Zeus whose herald you-came from*
Εὐρυκώμιδος· μὴ πρὸς Ἔρωτος, οὗ δοῦλος ἐν Αὐλικώμιδι
*Eurykomis not by Eros whose slave in Aulikomis*
γέγονας. Φεῖσαι πατρὸς πολιᾶς· φεῖσαι δακρύων μητρός·
*you-have-become spare (your)-father's gray-hair spare (the)-tears of-mother*
φεῖσαι πατρίδος ἡμῶν, ἡλικιωτῶν, φίλων· φεῖσαι θιάσου
*spare (the)-fatherland our comrades friends spare (the)-company*
λαμπροῦ· φεῖσαι λαμπρᾶς ἀγορᾶς· φεῖσαι προπεμπτηρίων
*brilliant spare (the)-brilliant marketplace spare (the)-escorting*
ᾠδῶν, ἃς ὁ πατήρ σοι καὶ πατρὶς συνεπλέξατο.
*songs which the father for-you and fatherland wove-together*
Ἀναλόγισαι τὸν πατέρα, οἷον οἰμώξεται· ἀναλόγισαι
*consider the father how he-will-wail consider*
τὴν μητέρα, οἷον κόψεται, οἷον θρηνήσει, ὄντως
*the mother how she-will-beat(-her-breast) how she-will-lament truly*
ἐλεεινόν, ὄντως ἄγριον καὶ οἷον τρυγὼν ἐπὶ νεοττοῖς
*pitiably truly savagely and as (a)-turtle-dove over nestlings*
ὀλλυμένοις. Οὐ νέκταρ Ὑσμίνη σοι κατεκέρασεν, οὐκ ἐξ
*perishing not nectar Hysmine for-you mixed not from*
Αὐλικώμιδος οἶνον, ἀλλ᾽ οἷον Ἑλένης λαθικηδὲς φάρμακον.
*Aulikomis wine but such-as of-Helen care-banishing drug*
Ἐπελάθου πατρός, μητρός, πατρίδος, ἡλικιωτῶν, ἑταίρων,
*you-forgot father mother fatherland comrades companions*

οὕτω λαμπρᾶς ἀγορᾶς καί, τὸ δὴ μεῖζον, ἱεροῦ Φιλίου
*so brilliant marketplace and the indeed greater sacred Philian*
Διός. Ὦ πάντα κακαὶ γυναῖκες καὶ κατὰ τὸν σοφὸν
*Zeus O in-all-things wicked women and according-to the wise(-one)*

ἔσθλ' ἀμηχανώτατοι,
*good(-things) most-helpless*
κακῶν δὲ πάντων τέκτονες σοφώτατοι.
*of-evils and all builders most-skilled*

Εἶτ' Ὀδυσσεὺς ἐκεῖνος οὐ κήρυξ ἦν, ἀλλὰ δοῦλος, ἀλλὰ
*then Odysseus that not herald was but slave but*
ξένος, ἀλλὰ πλανώμενος· ὁ δὲ καπνὸν πατρίδος οὐ μόνον
*stranger but wandering he and (the)-smoke of-fatherland not only*
ἐλευθερίας, ἀλλὰ καὶ θεώσεως αὐτῆς τιμιώτερον ἔκρινε· σὺ
*than-freedom but also than-deification itself more-precious judged you*
δ' ἔρωτος πυρὶ καὶ δοῦλος γίνῃ καὶ τὸ σὸν ἀπεμπολεῖς μοι
*and of-love by-fire even slave become and the your sell-off to-me*
κηρύκειον." Κἀγὼ πρὸς τὸν Κρατισθένην "ἰδοὺ Σωσθένης,
*herald's-staff and-I to — Kratisthenes behold Sosthenes*
καὶ σίγα, μή μου θριαμβεύσῃς τὸν ἔρωτα." Καὶ ὁ
*and be-silent not my trumpet the love and —*
Σωσθένης "τὰ μὲν δὴ πρὸς τὴν ἑορτὴν εὖ διεθέμεθα·
*Sosthenes the(-things) indeed truly for the feast well we-have-arranged*
καιρὸς δὲ δείπνου, καὶ περὶ τὸ δεῖπνον γενώμεθα."
*(the)-time and of-dinner and to the dinner let-us-go*
10 Ἐπὶ τὸν συνήθη γοῦν καὶ πάλιν τόπον ἀνακεκλίμεθα καὶ
*at the usual at-any-rate also again place we-reclined and*
πάλιν ἐπίνομεν· ὀλίγος γάρ μοι λόγος τροφῆς, οὐχ ὅτι
*again we-drank little for to-me account of-food not because*
πόσις μοι προτιμοτέρα, ἀλλ' ὅτι μοι παρθένος οἰνοχοεύει,
*drink to-me more-valued but because for-me (a)-maiden pours-wine*

καὶ παρθένος Ὑσμίνη γλυκυτέρα καὶ νέκταρος. Καὶ πάλιν
*and (the)-maiden Hysmine sweeter even than-nectar and again*
Ὑσμίνη κιρνᾷ, καὶ πάλιν ἐραστὴς ἐγώ, καὶ πάλιν ἀνάπτω
*Hysmine mixes and again lover I and again I-kindle*
τὸν ἔρωτα· ὥσπερ γὰρ ἄνεμος ἐν καλάμῃ καὶ χόρτοις
*the love just-as for wind in stubble and grass*
ἀνάπτει πῦρ μαραινόμενον, οὕτως ὀφθαλμὸς ἐν ἐρῶσιν
*kindles fire dying-down thus (the)-eye in lovers*
ἀνάπτει τὸν ἔρωτα. Πάλιν Ὑσμίνη πυρπολεῖ με κατὰ ψυχῆς·
*kindles the love again Hysmine burns me in soul*
πάλιν ὅλους εἰς ἑαυτὴν ἐφέλκεταί μου τοὺς ὀφθαλμούς· πάλιν
*again wholly to herself draws my the eyes again*
τὸν Ἔρωτα βλέπω, τὰ βέλη φρίσσω, τὸ πῦρ φοβοῦμαι,
*— Eros I-see the darts I-dread the fire I-fear*
δειλιῶ τὸ τόξον καὶ τὴν δούλωσιν κατασπάζομαι. Ἡ τράπεζα
*I-quail-at the bow and the slavery I-embrace the table*
ποικίλλεται ταῖς τροφαῖς· ἡ χείρ μοι περὶ ταύτας, ὀφθαλμοὶ
*is-varied with-the foods the hand my on them eyes*
πρὸς Ὑσμίνην, καὶ νοῦς μοι πρὸς ἔρωτα· οὕτω μοι τὰ μέλη
*on Hysmine and mind my on love thus my the limbs*
διέσπασται καὶ τὰ μέρη διέσπαρται· τὸ περὶ τὴν τράπεζαν
*have-been-torn-apart and the parts have-been-scattered the on the table*
ποικίλον τοὺς δακτύλους ἐφέλκεται, ἡ πόσις τὰ χείλη, τοὺς
*variety the fingers draws the drink the lips the*
ὀφθαλμοὺς τῆς κόρης τὸ χάριεν, καὶ ὁ Ἔρως τὸν νοῦν, ἢ
*eyes of-the girl the grace and — Eros the mind or*
τἀληθέστερον εἰπεῖν, πάνθ' ἡ κόρη, καὶ χεῖρας καὶ χείλη
*the-truer to-say all the girl both hands and lips*
καὶ ὀφθαλμοὺς καὶ τὸν νοῦν. Οὕτως ἐγὼ δουλογραφοῦμαι
*and eyes and the mind thus I am-enrolled-as-slave*

τῷ Ἔρωτι καινήν τινα δούλωσιν καὶ ἣν οὐδεὶς οὐδέπω
*— to-Eros strange a slavery and which no-one ever-yet*
δεδούλωται, οὐ μόνον σώματος, ἀλλὰ καὶ ψυχῆς.
*has-been-enslaved not only of-body but also of-soul*

## IV · THE PAINTED MONTHS

*At dinner Hysminias presses Hysmine's foot and she feigns pain; Sosthenes announces a journey to Eurykomis next day for sacrifice. Hysminias vows to live and die with Hysmine, who in the garden mocks his new eloquence and says she will come too. The friends read a painted row of twelve men, from a soldier to an old man by the fire, as the seasons of the year, and Hysminias argues that Eros rules them all. That night he embraces Hysmine by the well; she bites his lip and refuses him more, until someone at the gate parts them, and he weeps himself to sleep.*

1 Κιρνᾷ μὲν οὖν ἡ κόρη συνήθως· ἐγὼ δ' ἀσυνήθως πίνω
*mixes indeed then the girl as-usual I and unusually drink*
καὶ πίνων οὐ πίνω καὶ μὴ πίνων πίνω τὸν ἔρωτα. Πίνει
*and drinking not I-drink and not drinking I-drink the love drinks*
μὲν οὖν Σωσθένης καὶ τρίτος ἐγώ, ὅτι μου καὶ ἡ
*indeed then Sosthenes and third I because before-me also —*
Πανθία προέπιε, καὶ πίνων τὸν πόδα θλίβω τῆς κόρης,
*Panthia drank-first and drinking the foot I-press of-the girl*
πόδα κατεπιθεὶς τὸν ἐμόν· ἡ δὲ σιγῶσα τῇ γλώσσῃ
*(the)-foot having-placed-on(-it) the my she and silent with-the tongue*
τῷ σχήματι λαλεῖ καὶ λαλοῦσα σιγᾷ· δάκνει τὸ χεῖλος
*with-the gesture speaks and speaking is-silent she-bites the lip*
καὶ τὴν ἀλγοῦσαν καθυποκρίνεται· συνέχει τὴν ὀφρύν,
*and the (one)-in-pain plays knits the brow*
στυγνάζει τὸ πρόσωπον καὶ οἷον ὑποστενάζει λεπτόν·
*darkens (in)-the face and as-it-were sighs-softly thinly*

ἐγὼ δ᾽ ἀλγῶ τὴν ψυχὴν ἐκ μόνου τοῦ σχήματος καὶ
*I and ache (in)-the soul from only the gesture and*
τὸν μὲν πόδα τοῦ ποδὸς ἀφαρπάζω τῆς κόρης, τῇ
*the indeed foot from-the foot I-snatch-away of-the girl with-the*
χειρὶ δ᾽ ἀντιπαρέχω τὸ ἔκπωμα. Περὶ μὲν οὖν τῶν
*hand and I-hand-back the cup about indeed then the*
ἐν τῇ τραπέζῃ τρυφῶν Κρατισθένης φιλοσοφείτω καὶ εἴ
*on the table delicacies Kratisthenes let-philosophize and if*
τις περὶ τὴν τράπεζαν ἕτερος· ἐμοὶ δὲ καὶ τράπεζα καὶ
*any at the table other to-me and both table and*
τροφὴ καὶ πόσις καὶ τἆλλ᾽ ὁπόσα περὶ τὴν τράπεζαν
*food and drink and the-rest as-many-as on the table*
Ὑσμίνη παρθένος, ἧς καὶ πάλιν κιρνώσης θλίβω τὸν
*Hysmine (the)-maiden whose also again mixing I-press the*
δάκτυλον· ἡ δ᾽ “ἀλγῶ” καθυποψιθυρίζει λεπτόν· καὶ ἦν
*finger she and I-ache whispers thinly and was*
τὸ ψιθύρισμα μεστὸν ἡδονῆς καὶ στάζον ἐξ ἔρωτος.
*the whisper full of-pleasure and dripping with love*
Καὶ μετὰ τρίτην πόσιν καὶ τετάρτην καὶ πολυτελεῖς τὰς 2
*and after (a)-third drinking and fourth and costly the*
τροφὰς ἐλύετο τὸ συμπόσιον· καὶ ὁ Σωσθένης φησὶν
*foods was-broken-up the banquet and — Sosthenes says*
“Ὑσμινία κήρυξ, τρεῖς ταύτας ἡμέρας ἄγεις σήμερον
*Hysminias herald three these days you-spend today*
εἰς τὴν ἡμετέραν ἐξ Εὐρυκώμιδος, ἃς ὁ παρ᾽ ἡμῖν
*at the our(-city) from Eurykomis which the among us*
νόμος εἰς φιλοφροσύνην καὶ σέβας ἀφοσιοῦται κήρυκος
*law for welcome and honor dedicates of-herald*
καὶ κηρύγματος· συνήθως οὖν καὶ πάλιν σὺν τῷ καλῷ
*and of-heralding as-usual then also again with the fine*
τούτῳ παιδὶ” (τὸν Κρατισθένην δεικνὺς) “ἀνακλίθητι· τῇ
*this boy — Kratisthenes pointing-at recline on-the*

δ' ὑστεραίᾳ τὴν ἐπ' Εὐρυκώμιδος βαδιοῦμεν θύσοντες
*and next(-day) the(-road) to Eurykomis we-shall-walk to-sacrifice*
Σωτῆρι Διί." Ταῦτ' εἶπε καὶ ἡμῶν ἀπηλλάγη τὸ
*to-Savior Zeus these(-things) he-said and from-us departed the*
σύνηθες "χαίροις" εἰπών· ἐγὼ δ' ἐδόκουν νὴ τοὺς θεοὺς
*usual rejoice having-said I and seemed by the gods*
εἰς Ἅδου κατακεκλῆσθαι, καὶ ἤδη κρυεροῦ κατὰ
*to Hades to-have-been-summoned-down and already chill according-to*
τὴν ποίησιν ἐγευόμην Ἀΐδαο καὶ πρὸς τὸν Κρατισθένην
*the poetry I-tasted of-Hades and to — Kratisthenes*
εἶπον "τί μοί φησι Σωσθένης; Ὑσμίνη περὶ ταυτηνὶ τὴν
*I-said what to-me says Sosthenes Hysmine in this-here —*
Αὐλίκωμιν, ἐγὼ δ' εἰς Εὐρύκωμιν; οὐ μὰ τὸν ἐν τῷ κήπῳ
*Aulikomis I and to Eurykomis no by the in the garden*
θεόν· σὺν Ὑσμίνῃ θανοῦμαι, σὺν Ὑσμίνῃ καὶ ζήσομαι."
*god with Hysmine I-shall-die with Hysmine also I-shall-live*
3 Καὶ τὴν Ὑσμίνην περὶ τὸν κῆπον εἶδον ὅλην σεσοβημένην
*and — Hysmine in the garden I-saw wholly agitated*
ἐξ ἔρωτος. Εὐθὺς οὖν ὅλον τὸν κῆπον τοῖς ὀφθαλμοῖς μου
*by love at-once then whole the garden with-the eyes my*
συναγαγὼν ἢ μᾶλλον ὅλους περὶ τὸν κῆπον κατασκορπίσας
*having-gathered or rather wholly over the garden having-scattered*
αὐτοὺς καὶ ὅλον κατασκοπήσας αὐτὸν καὶ μόνην τὴν
*them and whole having-surveyed it and alone —*
Ὑσμίνην ἰδών, ἐγγύς που ταύτης γενόμενος καὶ
*Hysmine having-seen near somewhere her having-come and*
"χαίροις" εἰπὼν ἐφειλκυσάμην τοῦ χιτωνίου· ἡ δ' ἐσίγα
*rejoice having-said I-drew(-her) by-the tunic she and was-silent*
τὰ πρῶτα καὶ μόνον ἀντέτεινεν· ὡς δὲ καὶ χειρὸς ἡπτόμην,
*the first and only resisted when and also (the)-hand I-touched*
"αἰδέσθητι" φησὶ "τὸ κηρύκειον·" ὡς δὲ καὶ φιλεῖν
*respect she-says the herald's-staff when and also to-kiss(-her)*

ἤθελον, "εἶτ' οὐκ αἰδῇ τὸν ἐκ δάφνης στέφανον" εἶπε
*I-wished then not do-you-respect the of laurel crown she-said*
"καὶ τὸ ἱερὸν πέδιλον;" ὡς δ' οὐ κατεδυσωπούμην, ἀλλ'
*and the sacred sandal when and not I-was-shamed but*
ὅλος ἤμην περὶ τὸ φίλημα, "τί δέ σοι κέρδος" εἶπεν "ἐκ
*wholly I-was about the kiss what and to-you gain she-said from*
τοῦ φιλήματος;" Ἐγὼ δὲ πρὸς τὴν κόρην μεθ' ἡδονῆς
*the kiss I and to the girl with pleasure*

"ἔστιν κἂν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις."
*there-is even-in empty kisses sweet delight*

Ἡ δ' ὑποσεσηρυῖα μικρὸν "χθὲς τὸν παρθένον ἐπλάττου"
*she and grinning a-little yesterday the virgin you-feigned*
φησίν, "ὑπεκρίνου τὸν σώφρονα, καὶ νῦν καταρρητορεύεις
*she-says you-played the chaste(-one) and now you-orate-about*
τὸν ἔρωτα." Ἐγὼ δ' οὐδὲν εἰπὼν τὴν χεῖρα φιλῶ καὶ
*the love I and nothing having-said the hand kiss and*
φιλῶν στένω καὶ στένων ἐδάκρυσα. Ἡ δέ μοι φησὶν
*kissing groan and groaning wept she and to-me says*
"ὅ, τι τυγχάνων θρηνεῖς;" ἐγὼ δ' ὅτι γλώσσῃ μόνῃ
*what — happening do-you-lament I and because with-tongue only*
τοῦ μέλιτος γεύομαι· σὸς γάρ με Σωσθένης πατὴρ εἰς
*of-the honey I-taste your for me Sosthenes father to*
Εὐρυκώμιδα συνεφέλκεται. Ἡ δ' "ἀλλὰ κἀμέ" φησί. Καὶ
*Eurykomis drags-along she and but me-too says and*
τὴν χεῖρ' ἀφαρπάξασα μακρὰν ἀπεπήδησεν.
*the hand having-snatched-away far leapt-away*
Ἐγὼ δ' ὡς ἐν ὑποπτέρῳ ποδὶ περὶ τὴν κλίνην γενόμενος 4
*I and as on winged foot to the couch having-come*
ὑπεκρινόμην ὑπνοῦν· ψόφος γὰρ ὡς ἐκ ποδὸς ἡμᾶς
*pretended to-sleep (a)-sound for as of (a)-foot us*

συνετάραξεν. Ἦκεν οὖν ὁ Κρατισθένης τῆς συνηρεφοῦς
*startled came then — Kratisthenes from-the overarching*
ἀναστὰς μυρρίνης εἰς ἣν ὑπεκάθητο, καὶ τὸν πόδα μου
*having-risen myrtle in which he-was-sitting-beneath and the foot my*
θλίβων φησὶν "ἕως πότε τὸν βαθὺν τοῦτον ὕπνον ὑπνοῖς;
*pressing says until when the deep this sleep do-you-sleep*
Ὑσμίνη περὶ τὸν κῆπον, σὺ δ' οὕτως ἀνακεκλιμένος
*Hysmine in the garden you and thus reclining*
ὑπνοῖς;" καὶ λέγων ἐγέλασεν. Ἐγὼ δὲ "τί γελᾷς;"
*do-you-sleep and saying(-this) laughed I and why do-you-laugh*
εἶπον· ὁ δ' "ὅτι σε ψόφος ἐκ θεραπαινίδος ποδὸς
*said he and because you (a)-sound from (a)-maidservant's foot*
χειρὸς ἐρωμένης δεσποίνης ἐστέρησε καὶ θήρας οὕτω
*of-(the)-hand of-(your)-beloved mistress deprived and of-(a)-catch so*
καλῆς ἀνεμώλιον φόβητρον." Ἐγὼ δὲ κατεφίλησα τὸν
*fine empty scare I and kissed —*
Κρατισθένην εἰπὼν "σύγχαιρέ μοι, Κρατίσθενες· σὺν ἡμῖν
*Kratisthenes having-said rejoice-with me Kratisthenes with us*
ἡ παρθένος εἰς Εὐρυκώμιδα." Καὶ δὴ περὶ τὸν κῆπον
*the maiden to Eurykomis and indeed to the garden*
γενόμενος τὴν Ὑσμίνην ἐζήτουν καὶ πάλιν ἰδεῖν· ὡς δ'
*having-come — Hysmine I-sought also again to-see as and*
οὐκ εἶχον ὁρᾶν (ᾤχετο γάρ), ἐνεκαρτέρουν τῷ κήπῳ,
*not I-could see(-her) she-had-gone for I-lingered in-the garden*
τὴν παρθένον ἐνοπτριζόμενος· ὁ δέ γε Κρατισθένης
*the maiden seeing-as-in-a-mirror — and at-least Kratisthenes*
μετάγει μου τοὺς ὀφθαλμοὺς ἐπὶ τὰς ἐν τῷ κήπῳ γραφάς,
*shifts my the eyes to the in the garden paintings*
καὶ μετὰ τὸν ἐμὸν Ἔρωτα τὸν ἐφ' ὑψηλοῦ τοῦ δίφρου
*and after the my Eros the(-one) on high the throne*
καθήμενον ἄνδρας ὁρῶμεν ἀλλοφύλους, ἀλλογλώσσους,
*sitting men we-see of-other-tribes other-tongued*

ἀλλογενεῖς ἀλλήλοις, ὅλους ἄλλους ἐξ ἄλλων καὶ τὸ
*of-other-races to-one-another wholly other from others both (in)-the*
σχῆμα καὶ τὸ πολίτευμα.
*bearing and (in)-the way-of-life*
Ὁ μὲν γὰρ στρατιώτης ἦν· στρατιώτης τὸ σχῆμα, 5
*the(-one) indeed for (a)-soldier was soldier (in)-the bearing*
στρατιώτης τὸ βλέμμα, στρατιώτης τὸ μέγεθος· ὅλος
*soldier (in)-the look soldier (in)-the size wholly*
στρατιωτικῶς κατεπέφρακτο· τὴν κεφαλήν, τὼ χεῖρε,
*soldier-like he-had-been-armored (on)-the head the(-two) arms*
τὸ μετάφρενον, τὸ μέτωπον, τὸ στέρνον, τὴν ὀσφὺν καὶ
*the back the forehead the breast the loins and*
μέχρι ποδῶν· οὕτως ὁ τεχνίτης τὸν σίδηρον εἰς πέπλον
*down-to (the)-feet thus the craftsman the iron into (a)-robe*
ἐξύφανεν ἢ μᾶλλον ταῖς βαφαῖς τὸν σίδηρον ἐμιμήσατο·
*wove or rather with-the dyes the iron imitated*
οὕτω καὶ μέχρις ὀνύχων αὐτῶν τὸν στρατιώτην κατέφραξε.
*thus even down-to nails (the)-very the soldier armored*
Φαρέτρα περὶ τὴν ὀσφὺν καὶ σπάθη ἀμφίκοπος· δολιχὸν
*(a)-quiver around the loins and sword two-edged long*
ἔγχος περὶ τὴν δεξιάν· ἀσπὶς ἐξήρτητο τῆς λαιᾶς·
*spear in the right (a)-shield hung from-the left*
τοῖν δέ γε ποδοῖν οὕτως εὐφυῶς εἶχε καὶ τεχνικῶς,
*(in)-the(-two) and at-least feet so gracefully he-was and artfully*
ὡς εἴποις ἰδὼν κινεῖσθαι τὸν ἄνθρωπον.
*that you-would-say having-seen to-move the man*
Ὁ μετ᾽ αὐτὸν ὅλος ἦν ἀγροικικῶς ἐσταλμένος καὶ ὅλος 6
*the(-one) after him wholly was rustically dressed and wholly*
ποιμήν. Ἀπερικάλυπτον εἶχε τὴν κεφαλήν, ἀκόσμητον τὴν
*(a)-shepherd uncovered he-had the head unkempt the*
τρίχα καὶ τῆς κεφαλῆς καὶ τοῦ πώγωνος· τὼ χεῖρε
*hair both of-the head and of-the beard the(-two) arms*

μέχρις ἀγκῶνος γυμνώ. Μέχρι γονάτων ὁ ζωγράφος τὸν
*up-to elbow bare down-to knees the painter the*
χιτῶνα κατέχυσε· τὰ δ' ἐφεξῆς ἀφῆκεν ἀπερικάλυπτα.
*tunic poured-down the(-parts) and next left uncovered*
Λάσιον τὸ στέρνον τἀνδρὶ καὶ ὅσα τῶν μελῶν οὐκ
*shaggy the breast to-the-man and as-many-as of-the limbs not*
ἐπεκαλύφθησαν ὡς ἐν χιτῶνι τοῖς χρώμασι· τὸ σκέλος
*were-covered as in (a)-tunic with-the colors the leg*
παχὺ καὶ ὄντως κατ' ἄνδρας ἁδρόν. Διδυμοτόκος αἶξ
*thick and truly as-of men stout twin-bearing (a)-goat*
πρὸ τῶν ποδῶν τοῦ ποιμένος ὠδίνουσα γέγραπται· ὁ
*before the feet of-the shepherd in-labor has-been-painted the*
δὲ γίγας οὗτος ποιμὴν μαιεύει τὴν αἶγα, καὶ τὸ μὲν
*and giant this shepherd midwifes the goat and the(-one) indeed*
πρωτότοκον ἔχει, τὸ δ' ὑποδέχεται· καὶ τὴν σύριγγα
*first-born he-holds the(-other) and he-receives and the pipe*
ποιμενικῶς ἁρμοσάμενος ἐπιτόκιον οἷον ᾄδει καὶ οἷον
*shepherd-like having-fitted birth-song as-it-were sings and as-it-were*
καταδυσωπεῖ τὸν Πᾶνα τὰς αἶγας πυκνῶς εὐτοκεῖν.
*entreats — Pan the goats often to-bear-well*
7 Εἶτα λειμὼν κατάκομος ἄνθεσι, καί τις ἀνὴρ κατὰ
*then (a)-meadow thick with-flowers and a man like*
μέλιτταν ἐπὶ τοῖς ἄνθεσιν ἐμετάλλευεν. Οὐ κατὰ
*(a)-bee among the flowers was-mining not like*
φυτηκόμον ἐγέγραπτο, κατ' ἄνδρα δὲ μᾶλλον πολυτελῆ
*(a)-gardener he-had-been-painted like (a)-man but rather costly*
καὶ πολύολβον καὶ ὅλον βλάκα καὶ ὅλον χαρίεντα· ἡ γάρ
*and wealthy and wholly indolent and wholly graceful the for*
τοι περὶ τὸ πρόσωπον χάρις αὐτοῦ πρὸς τὸ τοῦ λειμῶνος
*surely about the face grace his with the of-the meadow*
κάλλος ἀντήριζεν. Ἡ θρὶξ περὶ τοὺς ὤμους ἐξήπλωτο,
*beauty vied the hair over the shoulders had-been-spread*

φιλοτίμως καταβοστρυχουμένη καὶ λίαν ἐπιμελῶς. Ἄνθεσι
*lavishly curled and very carefully with-flowers*
τὴν κεφαλὴν ἐστεφάνωτο, καὶ ῥόδα κατεπεχεῖτο τῷ
*(on)-the head he-had-been-crowned and roses were-poured-over on-the*
βοστρυχώματι. Ποδήρης ὁ χιτὼν τουτῳὶ καὶ οἷον
*curled-hair foot-long the tunic to-this-one and as-it-were*
κατάχρυσος καὶ ὡς ἐξ ἀνθέων κατάστικτος καὶ ὅλος
*gilded and as with flowers spotted and wholly*
ἠνέμωτο. Πλήρεις εἶχε τὰς χεῖρας καὶ ῥόδων καὶ
*had-been-wind-blown full he-had the hands both of-roses and*
τῶν ἄλλων φυτῶν, ὅσα καθηδύνει τὴν ὄσφρησιν.
*of-the other plants as-many-as sweeten the smell*
Ἐσανδαλοῦτο τοὺς πόδας· οὐδὲ γὰρ οὐδὲ τοῦτο τὸ μέρος
*he-was-sandaled (on)-the feet not for even this the part*
εἶχεν ἀπερικόσμητον· καὶ ἦν ὁ λειμὼν τοῖς ἐν ποσὶ σανδάλοις
*he-had unadorned and was the meadow in-the on feet sandals*
ὡς ἐν κατόπτροις παραδεικνύμενος· οὕτως ὁ ζωγράφος
*as in mirrors shown thus the painter*
καὶ μέχρι ποδῶν καὶ πεδίλου τὸν ἄνδρα κατεχαρίτωσε.
*even down-to feet and sandal the man adorned-with-grace*
Πεδίον χλοηφόρον μετὰ τὸν κῆπον ὁ τεχνίτης ἐξήπλωσεν, 8
*(a)-plain green after the garden the craftsman spread-out*
ἄνδρα δ' ἐν μέσῳ κατεζωγράφησε τὰ πάντα κατ'
*(a)-man and in (the)-middle painted in-the(-things) all as*
ἀγρότην ἐσκευασμένον, ἐστεφανωμένον τὴν κεφαλὴν
*(a)-countryman equipped crowned (on)-the head*
οὐκ ἐκ ῥόδων, οὐκ ἐξ ἀνθέων, ἀλλ' ἐκ λίνου λεπτοῦ,
*not with roses not with flowers but with linen fine*
ὃν χεὶρ ὑφαίνει καὶ τέχνη πλέκει καὶ τόξον ἀγρότης
*which hand weaves and art plaits and (a)-bow countryman*
ἔχει. Τὸν βόστρυχον οὐδὲ μέχρις ὤμων ὁ τεχνίτης
*has the curl not-even to (the)-shoulders the craftsman*

ἐξήπλωσεν, οὐδ' αὐτὸν ὅλον περικαλύπτειν ἀφῆκε τὸν
*spread-out nor it whole to-cover allowed the*
τράχηλον. Τὸ χιτώνιον ἀκαλλῶς κατ' ἀγρότην ἐσκεύασε
*neck the tunic plainly as (a)-countryman he-made*
καὶ ὅλον ἀγροικικόν. Τὼ πόδε κατ' ἄμφω μέχρι
*and wholly rustic the(-two) legs on both(-sides) up-to*
γονάτων ἐγύμνωσε καὶ ἄμφω τὼ χεῖρε πρὸς ἓν
*knees he-bared and both the(-two) hands to one*
ἀφώρισε δρέπανον, ὅ, τι καὶ τὸ σχῆμα καὶ τὸ
*assigned sickle which — both (in)-the shape and (in)-the*
μῆκος ὑπὲρ τὸ δρέπανον. Χόρτον τίλλειν ὁ γεγραμμένος
*length beyond the sickle grass to-pluck the painted*
ἀγρότης ἔργον εἶχεν ἐπιμελέστατον· τοὺς ὀφθαλμοὺς
*countryman (as)-task had most-diligent the eyes*
ἐπεπήγει τῷ χόρτῳ, καὶ ὅλος ἦν πρὸς τῷ λειτουργήματι.
*he-had-fixed on-the grass and wholly was at the service*
9 Γηπόνος ὁ μετ' αὐτὸν περὶ μέσους κεκυφὼς τοὺς
*(a)-farmer the(-one) after him amid mid stooping the*
ἀστάχυας δρέπανον ἔχει τῇ δεξιᾷ, τῇ δέ γε λαιᾷ
*ears-of-grain (a)-sickle he-has in-the right with-the and at-least left*
συλλέγει τὰ δράγματα· ἀπέχει τοὺς καρποὺς τῶν πόνων,
*he-gathers the handfuls he-receives the fruits of-the toils*
θερίζει τὰς ἀμοιβὰς τῶν καμάτων καὶ τῶν σπερμάτων τρυγᾷ
*reaps the rewards of-the labors and of-the seeds harvests*
τὰ γεώργια. Ἐπικάλυμμα φέρει τῇ κεφαλῇ πῖλον ἀσκητὸν
*the crops (a)-covering he-wears on-the head (a)-felt-cap well-made*
καθ' Ἡσίοδον· οὐ γὰρ γυμνῇ ταύτῃ δοκεῖ τὴν θέρμην
*according-to Hesiod not for bare with-it he-seems the heat*
ἀνέχεσθαι. Τὸν πάντα χιτῶνα περὶ τὴν ὀσφὺν διεζώσατο
*to-endure the whole tunic around the loins he-girded*
καὶ τὸ πᾶν τοῦ σώματος πλὴν τῆς αἰδοῦς ἐξεγύμνωσεν.
*and the whole of-the body except the privates he-bared*

Ὁ μετ᾽ αὐτὸν ἤδη λελουμένος ἐγέγραπτο. Πρὸ 10
*the(-one) after him already bathed had-been-painted before*
τῶν πυλῶν εἰστήκει τοῦ βαλανείου, ὀθόνῃ τὴν αἰδῶ
*the gates he-stood of-the bath with-linen the privates*
περιστέλλων, τὰ δ᾽ ἄλλα φέρων ἀπερικάλυπτα.
*wrapping the(-parts) and other bearing uncovered*
Πάνθ᾽ ὡς ἐξ ἱδρῶτος κατερρεῖτο καὶ κατεβρέχετο.
*all(-of-him) as from sweat was-streaming and was-drenched*
Εἴποις ἰδὼν ἀσθμαίνειν τὸν ἄνθρωπον καὶ οἷον
*you-would-say having-seen to-pant the man and as-it-were*
ἐκλελύσθαι τῷ καύματι· οὕτως ὁ τεχνίτης καὶ τὰς
*to-have-been-undone by-the heat thus the craftsman even the*
φύσεις αὐτὰς ἀπεμιμεῖτο τοῖς χρώμασι. Τῇ δεξιᾷ τῶν
*natures themselves imitated with-the colors in-the right of-the*
χειρῶν ἔκπωμά τι κατεῖχε κωνοειδές, ὃ τῷ στόματι
*hands cup some he-held cone-shaped which to-the mouth*
φέρων τῆς ὀπῆς ἀνερρόφει τοῦ πόματος· τῇ δ᾽
*bringing through-the hole he-sucked-up of-the drink with-the and*
αὖ γε λαιᾷ τὴν ὀθόνην ἀνεῖχε περὶ τὸν ὀμφαλόν, μή
*again at-least left the linen held-up about the navel lest*
πως ἐκρυεῖσα τὸ πᾶν ἐκκαλύψῃ τοῦ σώματος.
*somehow having-slipped-off the whole it-might-uncover of-the body*
Μετὰ δὴ τοῦτον τὸν ἐκ βαλανείου, τὸν λελουμένον, 11
*after indeed this(-one) the(-one) from (the)-bath the bathed*
τὸν καυματούμενον ἀνήρ τις ἐγέγραπτο ὅλον ἀνεζωσμένος
*the heated man certain had-been-painted whole having-girded-up*
περὶ τὴν ὀσφὺν τὸ χιτώνιον, ὅλῳ τὼ πόδε γυμνός,
*around the loins the tunic wholly (in)-the(-two) legs bare*
καὶ ὅλην οἴνου πηγὴν ἀναστομῶν πρὸ ποδῶν. Τὴν τρίχα
*and (a)-whole of-wine spring opening-up before (his)-feet the hair*
πᾶσαν εὐφυῶς συνῆκται πρὸς τὸ μετάφρενον. Ἄμπελον ἡ
*all gracefully he-has-gathered to the back (a)-vine the*

λαιὰ τῶν χειρῶν ἐμιμεῖτο, καὶ βότρυν εἶχε τοῖς δακτύλοις
*left of-the hands imitated and (a)-cluster held on-the fingers*
ὡς κλάδοις ἀπαιωρούμενον· ἡ δεξιὰ τὸν βότρυν ἐτρύγα,
*as on-branches hanging the right the cluster plucked*
καὶ τῷ στόματι κατὰ ληνὸν παρετίθετο, καὶ τοῖς
*and to-the mouth as-into (a)-wine-press brought(-it) and with-the*
ὀδοῦσιν ὡς ποσὶν ἐναπέθλιβε· καὶ ἦν ὁ γεγραμμένος
*teeth as with-feet pressed(-it)-out and was the painted*
ἀνὴρ ἄμπελος καὶ τρυγητὴς καὶ ληνὸς καὶ οἴνου πηγή.
*man vine and vintager and wine-press and of-wine spring*
12 Ὁ μετ' αὐτὸν νεανίσκος νῦν πρώτως ἤνθει τὸν ἴουλον,
*the after him youth now first blossomed (in)-the down*
τὴν κεφαλὴν μὴ φέρων ἀπερικάλυπτον, ἀλλ' ἔκ τινος
*the head not bearing uncovered but with some*
ἀραχνώδους λίνου περικαλύπτων καὶ τὴν κεφαλὴν καὶ τὸν
*spider-fine linen covering both the head and the*
βόστρυχον. Λευκὸν αὐτῷ τὸ χιτώνιον, ὃ τὰς χεῖρας συνέχει
*curl white his the tunic which the arms holds*
καὶ ταύταις κεκόλληται καὶ μέχρι δακτύλων ἐκκεχυμένον
*and to-them is-glued and to (the)-fingers poured-out*
αὐτῶν. Στενοῦται μὲν περὶ τὴν ὀσφύν, τὸ δ' ἐφεξῆς
*(the)-very it-narrows indeed at the loins the(-rest) and next*
ἀνέτως ἐκχεῖται καὶ οἷον ἠνέμωται. Μέχρι γονάτων
*loosely pours-out and as-it-were is-wind-blown up-to knees*
ὁ τεχνίτης τοὺς πόδας τῷ νεανίσκῳ κατεπεδίλωσεν.
*the craftsman the legs to-the youth shod*
Ὁ δ' οἰκίσκους φέρει στρουθῶν, πλάττει φυτόν, δόλον
*he and cages carries of-sparrows fashions (a)-plant (a)-snare*
πλέκει κατὰ πτηνῶν καὶ περιεργάζεται τὸ πτερόν· ὅλον
*weaves against birds and busies(-himself)-about the wing (a)-whole*
λειμῶνα φυτεύει, στρουθοὺς τῷ λειμῶνι παραπετάννυσι,
*meadow plants sparrows by-the meadow spreads-out-beside*

λεπτῇ μηρίνθῳ τούτους ἀντικαθέλκων πυκνά. Τὸν δόλον
*with-thin cord them drawing-back often the snare*
οὐ συνορᾷ τὸ πτηνόν, τὴν μηχανὴν οὐκ οἶδε· βλέπει
*not perceives the bird the device not knows sees*
τὸν λειμῶνα τερπνόν, τοὺς ἐν μηρίνθῳ παραπετομένους
*the meadow delightful the on cord fluttering-alongside*
στρουθούς, τοὺς ἐν οἰκίσκοις ἡδὺ μελιζομένους καὶ
*sparrows the(-ones) in cages sweetly singing and*
χάριεν· γίνεται πρὸς τῷ λειμῶνι, πρὸς τοῖς στρουθοῖς,
*delightfully comes to the meadow to the sparrows*
καὶ τῷ δόλῳ συνέχεται· ὁ δὲ τὸν δόλον συσκευασάμενος
*and by-the snare is-caught the and the snare having-contrived*
ἰξευτὴς συνέχει καὶ σφάττει καὶ τῆς εὐηθείας καταγελᾷ.
*fowler seizes(-it) and slaughters and at-the simplicity laughs*
Μετὰ δὴ ταῦτα ζεῦγος βοῶν ἄροτρον φέρον ἐγέγραπτο 13
*after indeed these(-things) (a)-yoke of-oxen (a)-plow bearing had-been-painted*
καί τις ἀνὴρ ἀροτρεύς, ᾧ φαῦλα μὲν ὁ τεχνίτης
*and a man plowman for-whom poor indeed the craftsman*
ὑπέρραψε πέδιλα, φαῦλα δὲ καὶ τἆλλα τὰ περὶ τὸ
*stitched sandals poor and also the-rest the(-things) about the*
σῶμα κατεζωγράφησε, φαῦλον χιτῶνα καὶ ὅλον διερρωγότα
*body painted (a)-poor tunic and wholly torn*
(καὶ τοῦτο γὰρ ἐτεχνουργήθη τοῖς χρώμασι), φαῦλον
*also this for was-crafted with-the colors poor*
τὸ τῆς κεφαλῆς περικάλυμμα, ἐξ ἐρίου τάχα συμπιληθέν.
*the of-the head covering of wool perhaps felted*
Μέλαν οὐ κατ' Αἰθίοπα κατεχρώσθη τὸ πρόσωπον, ἀλλ'
*black not like (an)-Ethiopian was-colored the face but*
οἷον ἥλιος μεταχρώννυσι. Θρὶξ ὀλίγη πρὸς τὸ μετάφρενον·
*such-as (the)-sun recolors hair little at the back*
τὴν γὰρ πᾶσαν τὸ τῆς κεφαλῆς ἐπεκάλυπτε κάλυμμα·
*the for all the of-the head covered covering*

πώγων καθειμένος καὶ ὅλος βαθύς. Ἡ δεξιὰ τῶν χειρῶν
*beard hanging-down and wholly deep the right of-the hands*
ὅλη κατέχει καὶ πρὸς γῆν ἐμβάλλει τὸ ἄροτρον, ἡ
*wholly holds and to (the)-ground thrusts the plow the*
δέ γε λαιὰ βουπλῆγα φέρει, γηπόνων ἀνδρῶν γραφεῖον,
*and at-least left (an)-ox-goad bears of-farming men stylus*
ὃ βάπτεται μὲν βοῶν αἵματι, καλλιγραφεῖ δὲ τὴν γῆν.
*which is-dipped indeed of-oxen in-blood writes-beautifully(-on) and the earth*
14 Ὁ μετ᾽ αὐτὸν κατ᾽ αὐτὸν τὸ σχῆμα, τὸν χιτῶνα, τὸ
*the(-one) after him like him (in)-the bearing the tunic the*
πέδιλον καὶ τὸ τῆς κεφαλῆς περικάλυμμα καὶ ὅσα περὶ
*sandal and the of-the head covering and as-many-as about*
τὸ σῶμα· τὸ γάρ τοι σῶμα διήλλακται· τὸ χρῶμα τοῦ
*the body the for surely body differs the color of-the*
προσώπου μέλαν μέν, ἀλλ᾽ οὐχὶ κατ᾽ ἐκεῖνον, ὥσπερ οὐδὲ
*face black indeed but not like that(-one) just-as nor*
κατὰ τὸν ἐν τῷ κήπῳ γεγραμμένον λευκόν· ἀλλ᾽ ὅσον
*like the(-one) in the garden painted white but as-much-as*
ἐκείνου μελάντερον, τοσοῦτον τούτου λευκότερον. Ἡ
*than-that(-one) blacker so-much than-this(-one) whiter the*
θρὶξ ἀτάκτως πλὴν μέχρις ὤμων ἐξήπλωτο· ὁ πώγων
*hair untidily however down-to shoulders had-been-spread the beard*
μὴ κατ᾽ ἐκεῖνον ἐκκεχυμένος, ἀλλὰ συνῆκται καὶ
*not like that(-one) poured-out but has-been-drawn-together and*
οἷον συνέσταλται. Τῆς μὲν τῶν χειρῶν λαιᾶς ἐξῆπται
*as-it-were has-been-drawn-in from-the indeed of-the hands left hangs*
κανοῦν· ἡ δ᾽ αὖ ἑτέρα τὸν ἐν τούτῳ σῖτον ἐξῆγε καὶ
*(a)-basket the and again other the in it grain drew-out and*
περὶ τὴν γῆν κατεσκόρπιζεν· εἰ δὲ κεκρυμμένα πτηνὰ
*over the ground scattered whether and hidden birds*

τοῖς περὶ τὴν γῆν ἐκάθηντο χάσμασι καὶ εἰ τούτοις
*in-the about the ground sat hollows and whether for-these*
ἐσκόρπιζεν, ὁ τεχνίτης οὐκ ἀφῆκεν ὁρᾶν.
*he-scattered the craftsman not allowed to-see*
Μετὰ δὴ τούτους νεανίσκος ἐγέγραπτο σφριγῶν τὸ
*after indeed these (a)-youth had-been-painted lusty (in)-the*
σῶμα καὶ τὸ βλέμμα θρασύς, ὅλος περὶ θήρας
*body and (in)-the look bold wholly over hunts*
ἐπτοημένος καὶ κυνηγέσια, ἡμαγμένος τὰς χεῖρας καὶ
*excited and hunting bloodied (in)-the hands and*
οἷον θωΰσσων κυσί· χεὶρ γὰρ ζωγράφου καὶ τέχνη κἂν
*as-it-were hallooing to-dogs (the)-hand for of-(a)-painter and art even-if*
τἆλλα σοφή, φωνῆς ἡττᾶται καὶ ταύτην οὐκ οἶδε μιμεῖσθαι
*in-the-rest skilled by-voice is-defeated and it not knows to-imitate*
τοῖς χρώμασι. Τὸν πάντα βόστρυχον εἰς ἓν συνῆγε καὶ
*with-the colors the whole curl into one he-gathered and*
συνεδέδετο· ὅλον τὸ χιτώνιον εὐφυῶς συγκεκόλληται τῇ
*had-bound whole the tunic gracefully is-glued to-the*
σαρκὶ καὶ οἷον ταύτῃ συνέρραπται, ὃ μέχρι γονάτων ὁ
*flesh and as-it-were to-it is-sewn which down-to knees the*
τεχνίτης ἐξέχυσε. Τὰ δ' ἐφεξῆς μέχρι δακτύλων αὐτῶν
*craftsman poured-out the(-parts) and next down-to toes (the)-very*
διερρωγώς τις πέπλος συνέσφιγγε, καὶ μήρινθος κατὰ κιττὸν
*torn a cloth bound-tight and (a)-cord like ivy*
συνεπλέκετο. Λαγωὸς τῆς λαιᾶς ἀπηώρητο τῶν χειρῶν·
*was-entwined (a)-hare from-the left hung of-the hands*
τῇ γάρ τοι δεξιᾷ τοὺς κύνας ὑπέσαινεν· οἱ δ' ὅλοι πρὸ
*with-the for surely right the dogs he-fondled they and wholly before*
ποδῶν ἐκυλινδοῦντο τοῦ νεανίσκου καὶ οἷον συνέπαιζον.
*(the)-feet rolled of-the youth and as-it-were played-along*

16 Τέλος κρατῆρες πυρὸς ἐγεγράφατο καὶ φλὸξ ὡς ἀπὸ
*finally craters of-fire had-been-painted and flame as from*
γῆς μέχρις αὐτῶν οὐρανῶν, ὡς μηδ' ἔχειν μαθεῖν
*earth up-to (the)-very heavens so-that not-even to-be-able to-learn*
εἴτ' ἐξ αἰθέρος εἰς γῆν ἐκχεῖται τὸ πῦρ εἴτ' ἀπὸ γῆς
*whether from (the)-sky to earth pours the fire or from earth*
ἐξῆπται πρὸς οὐρανόν. Καί τις ἀνὴρ ἑκατονταπέμπελος
*is-kindled toward heaven and a man hundred-years-old*
παρακάθηται τῇ φλογί, ὅλος ῥυτίς, ὅλος πολιὰ καὶ τὴν
*sits-beside the flame wholly wrinkle wholly gray both (in)-the*
κεφαλὴν καὶ τὸν πώγωνα, διφθέραν ἐνδεδυμένος ἐκ
*head and (in)-the beard (a)-hide wearing from*
κεφαλῆς εἰς ὀσφύν, τὰ δ' ἄλλα γυμνός, τὼ
*head to loins in-the(-parts) and other naked the(-two)*
χεῖρε, τὼ πόδε καὶ τὸ πολὺ τῆς γαστρός. Ἐκτεταμένας
*arms the(-two) legs and the most of-the belly stretched-out*
εἶχε τὰς χεῖρας καὶ οἷον μεθεῖλκε τὴν φλόγα καὶ
*he-had the hands and as-it-were drew the flame and*
μετερρίπιζε καὶ ὅλην μετῆγε πρὸς ἑαυτόν.
*fanned and whole brought to himself*

17 Ταῦθ' ὁρῶμεν καὶ τοῖς παραδόξοις ἐξεπληττόμεθα καὶ
*these(-things) we-see and at-the marvels were-astounded and*
τί βούλεται τὰ γεγραμμένα καὶ σφόδρα μαθεῖν
*what mean the(-things) painted also very-much to-learn*
ἐβουλόμεθα, καὶ μᾶλλον ὁ Κρατισθένης· ἐμὲ γὰρ ὁ τῆς
*we-wished and more — Kratisthenes me for the —*
Ὑσμίνης ἔρως ὅλον μεθεῖλκε πρὸς ἑαυτόν· τὰ δ' ἄλλα
*of-Hysmine love wholly drew to itself the(-things) and other*
πάντα καὶ τὰ περὶ τὸν κῆπον τερπνὰ τερπνά μοι
*all and the(-things) in the garden delightful delightful to-me*
πρὶν Ὑσμίνην ἰδεῖν ἢ μᾶλλον πρὶν Ὑσμίνης ἐκκεκαῦσθαι
*before Hysmine to-see or rather before for-Hysmine to-have-been-inflamed*

τῷ ἔρωτι. Τοίνυν ἐγὼ μὲν τοὺς ὀφθαλμοὺς μετάγω
*with-the love therefore I indeed the eyes shift*
περὶ τὸν κῆπον, τὴν Ὑσμίνην ἐνοπτριζόμενος· ὁ δέ γε
*over the garden — Hysmine seeing-as-in-a-mirror — and at-least*
Κρατισθένης ὑπὲρ τὰς κεφαλὰς τῶν γεγραμμένων ἀνδρῶν
*Kratisthenes above the heads of-the painted men*
ἰαμβεῖον ἓν γεγραμμένον ὁρᾷ· τὸ δ' εἶχεν οὕτως
*iambic-line one written sees it and ran thus*

τοὺς ἄνδρας ἀθρῶν τὸν χρόνον βλέπεις ὅλον.
*the men viewing the time you-see whole*

Ἐντεῦθεν κατεφιλοσοφοῦμεν τὰ σχήματα τῶν ἀνδρῶν. 18
*from-there we-reasoned-out the figures of-the men*
Στρατιώτης ὁ πρῶτος τὸν καιρὸν τοῦ χρόνου παραδεικνύει,
*soldier the first the season of-the year shows*
ὅτε πᾶς ἐκστρατεύει στρατιώτης ἀνὴρ ὅπλοις ὅλοις
*when every marches-out soldier man with-arms whole*
καταφραξάμενος.
*having-armored-himself*
Ὁ μετ' αὐτὸν αἰπόλος, αἶξ ἡ παρὰ τοῖς ποσὶ τίκτουσα
*the after him goatherd goat the(-one) at the feet bearing*
καὶ σύριγξ οἷον αὐλοῦσα τὸν καιρὸν ἐμφαίνει, καθ'
*and pipe as-it-were playing the season shows in*
ὃν ποιμὴν ἐκ χειμῶνος ἐξάγει τὸ ποίμνιον, καθ' ὃν
*which (a)-shepherd from winter leads-out the flock in which*
τίκτουσιν αἶγες καὶ σύριγξ ἁρμόζεται.
*bear goats and (the)-pipe is-fitted*

Ὁ γεγραμμένος λειμών, ὁ ῥόδοις κομῶν καὶ θάλλων
*the painted meadow the(-one) with-roses luxuriant and blooming*
τοῖς ἄνθεσιν, ὁ μέσον κατηνθισμένος ἀνὴρ τὸν καιρὸν
*with-the flowers the in-the-middle flower-decked man the season*
εἰκονίζει τοῦ ἔαρος.
*portrays of-the spring*
Τὸ χλοηφόρον γεγραμμένον πεδίον, ὁ τὸν χόρτον τίλλων
*the green painted plain the the grass plucking*
ἀγρότης τὸν καιρὸν παρίστησιν ἐμφανῶς, καθ᾽ ὃν ὁ
*countryman the season presents clearly in which the*
χόρτος πεπαίνεται καὶ τὴν ἐκτομὴν ἀπαιτεῖ.
*grass ripens and the cutting demands*
Ὁ μέσον ἀσταχύων ἀνήρ, ὁ τὸ δρέπανον ἔχων
*the amid ears man the(-one) the sickle having*
καὶ θερίζων τὸν ἄσταχυν τὸν καιρὸν τοῦ θέρους σοι
*and reaping the ear the season of-the summer for-you*
καταζωγραφεῖ.
*paints*
Ὁ λελουμένος ἀνήρ, ὁ γυμνός, ὁ πίνων, ὁ
*the bathed man the(-one) naked the(-one) drinking the(-one)*
καυματούμενος τὴν θέρμην ἐμφαίνει σοι τοῦ καιροῦ, τὴν
*heated the heat shows to-you of-the season the*
ἐπιτολὴν τοῦ κυνός, ὅθεν τὸ σῶμα καταξηραίνεται.
*rising of-the Dog whence the body is-parched*
Ὁ τὸν βότρυν ἐκθλίβων, ὁ τὸν βότρυν τρυγῶν
*the(-one) the cluster pressing-out the(-one) the cluster plucking*
τὸν καιρὸν τῆς τρύγης σοι παριστᾷ καὶ τὸ καταπεπάνθαι
*the season of-the vintage to-you presents and the to-have-ripened*
τοὺς βότρυας.
*the clusters*

Ὁ μετ᾽ αὐτὸν ἰξευτὴς ὑπαινίττεταί σοι τὸν χρόνον, καθ᾽
*the after him fowler hints-at to-you the time in*
ὃν τὰ πτηνὰ τὸν χειμῶνα φρίσσει καὶ μεταίρει πρὸς τὸ
*which the birds the winter dread and migrate to the*
θερμότερον.
*warmer*
Ὁρᾷς τὸν γηπόνον ἐπ᾽ ἄροτρον; Οὗτός ἐστιν ὁ καιρός,
*do-you-see the farmer at (the)-plow this is the season*
ὃν καί τις σοφὸς ἐκ τῶν Πληιάδων εἰς ἄροτον
*which also a wise(-man) from the Pleiades for plowing*
ἠκριβώσατο.
*fixed-exactly*
Ὁ μετ᾽ αὐτὸν σκορπίζων τὸν σῖτον σπορεύς ἐστι καὶ
*the(-one) after him scattering the grain sower is and*
τὸν τοῦ σπόρου καιρὸν καθυπεμφαίνει τῷ ζωγραφήματι.
*the of-the sowing season hints-at with-the painting*
Ὁρᾷς τὸν ἐν μέσῳ κυνῶν νεανίσκον, τὸν τὸν
*do-you-see the in (the)-midst of-dogs youth the(-one) the*
λαγωὸν φέροντα, τὸν τοὺς κύνας καθυποσαίνοντα; Τὸν
*hare carrying the(-one) the dogs fondling the*
τῆς θήρας καιρόν σοι παρίστησιν· ἐπεὶ γὰρ συνῆκται
*of-the hunt season to-you be-presents since for has-been-gathered*
ταῖς ἀποθήκαις καὶ σῖτος καὶ οἶνος καὶ τἆλλ᾽ ὁπόσα
*in-the storehouses both grain and wine and the-rest as-much-as*
συναγαγεῖν ἀγαθόν, ἀλλὰ δὴ καὶ τὰ περὶ τὸ μέλλον
*to-gather (is)-good but indeed also the(-things) about the future*
εὖ διετέθη καὶ γεωργικῶς καὶ γηπονικῶς, ἀνέσει καὶ
*well have-been-arranged both by-tillage and by-husbandry to-leisure and*
θήραις καὶ κυνηγεσίοις καιρὸς ἀφωσίωται.
*to-hunts and to-chases (the)-season has-been-dedicated*

Ὁ πολιὸς οὗτος ἀνήρ, ὁ ῥυτίς, ὁ τῇ ἑστίῃ ἐμπελαδὸν
*the gray this man the wrinkle the(-one) by-the hearth close*
παρακαθήμενος τὸ δριμὺ τοῦ χειμῶνος καθυπεμφαίνει
*sitting the sharpness of-the winter hints-at*
σοι, οὐχ ἧττον δὲ καὶ τὸ τοῦ γήρως ψυχρόν· ὁ γάρ
*to-you not less and also the of-the old-age cold the for*
τοι χειμὼν διὰ κόρης ἁπαλόχροος οὐ διάησι, τροχαλὸν
*surely winter through (a)-girl soft-skinned not blows bent*
δὲ γέροντα τίθησιν.
*but (the)-old-man makes*

19 Οὕτω τοίνυν καταφιλοσοφήσαντες τὴν γραφὴν περὶ τὸ
*thus therefore having-reasoned-out the painting to the*
δωμάτιον ἀνεχωροῦμεν· ὕπνου γὰρ ἐκάλει καιρός. Καὶ
*chamber we-withdrew of-sleep for called (the)-time and*
ὁ μὲν Κρατισθένης περὶ τὴν κλίνην ἐγένετο, ἐγὼ δ’
*— indeed Kratisthenes to the couch went I and*
ἐνεκαρτέρουν τῷ κήπῳ, τὴν Ὑσμίνην ἐθέλων ἰδεῖν, καὶ
*lingered in-the garden — Hysmine wishing to-see and*
ὅλους πρὸς τὴν πύλην εἶχον τοὺς ὀφθαλμούς· νοῦς γὰρ
*wholly toward the gate I-held the eyes (a)-mind for*
ἔρωτι τρωθεὶς ὅλον καθ’ αὐτὸν ἀναπλάττει τὸν ἔρωτα
*by-love wounded whole in itself refashions the love*
καὶ τοὺς ὀφθαλμοὺς μετάγει περὶ τὸ πλάσμα καὶ ὅλον
*and the eyes turns to the fiction and whole*
ὁρᾶν δοκεῖ τὸ πλαττόμενον· οὕτω πῦρ ἔρωτος
*to-see seems the(-thing) being-fashioned thus (the)-fire of-love*
πεσὸν εἰς ψυχὴν καὶ τὰς φύσεις αὐτὰς μεταπλάττει καὶ
*having-fallen into (a)-soul even the natures themselves refashions and*
μεθαρμόζεται. Καὶ ὁ Κρατισθένης τῆς κλίνης ἀναστὰς
*adapts and — Kratisthenes from-the couch having-risen*

μεθεῖλκέ με περὶ τὸ δωμάτιον "νὺξ δ' ἤδη τελέθει"
*drew me to the chamber night and already comes-on*
λέγων, "ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι."
*saying (it-is)-good also to-night to-obey*
Ἐγὼ δὲ πρὸς αὐτὸν "νῦν τὰς γραφὰς ὅλας ἀνεμετροῦμεν
*I and to him now the paintings whole we-measured*
τοῖς ὀφθαλμοῖς, τὰς ἐπιγραφὰς ἑωρῶμεν καὶ ταύτας ταῖς
*with-the eyes the inscriptions we-saw and them to-the*
γραφαῖς προσηρμόττομεν, καὶ θέρει μὲν καὶ ψύχει καὶ
*paintings we-fitted and to-summer indeed and to-cold and*
ἔαρι καὶ τοῖς πᾶσιν ἁπλῶς καιρὸς ἀφωσίωται, Ἔρως
*to-spring and to-the(-things) all simply (a)-season has-been-assigned Eros*
δ' οὐ περιγέγραπται τῇ γραφῇ, οὐ πρὸς καιρὸν τῇ τέχνῃ
*but not has-been-circumscribed in-the painting not to (a)-season by-the art*
μετεχρωμάτισται· πάντως ὅτι παντὶ καιρῷ μεθαρμόζεται."
*has-been-colored surely because to-every season he-adapts*
Ὁ δὲ Κρατισθένης "ἰσχυρῶς σε καταπαγιδεύω τοῖς
*— and Kratisthenes strongly you I-snare with-the*
χείλεσι καὶ τοῖς σοῖς τὴν νικῶσαν ἔχω προβλήμασιν·
*lips and by-the your(-own) the winning(-vote) I-have arguments*
ἐγγὺς γὰρ ἡ γραφὴ καὶ ἀπαράγραπτος ὁ γραφεύς· θέρει
*near for the painting and unexceptionable the painter to-summer*
γὰρ καὶ ψύχει καὶ ἔαρι καιρὸς ἀφωσίωται κατά γε
*for and to-cold and to-spring (a)-season has-been-assigned according-to at-least*
τὴν γραφὴν καὶ τὸν λόγον τὸν σόν, ἔρωτι δ' οὐδαμῶς· ἂν
*the painting and the argument the your to-love but in-no-way if*
δ' ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷ, τυραννὶς τὸ πρᾶγμα· ἂν
*and beyond the(-things) dug he-leaps tyranny the thing if*
καταδυναστεύσας πολλάκις ἐκράτησε παρ' ἡμῖν, οὐ νόμος
*having-overpowered often he-prevailed among us not law*
τὸ σπάνιον, ἡ γάρ τοι τοῦ ζωγράφου γραφὶς Ἑρμοῦ
*the rare the for surely of-the painter brush of-Hermes*

ἀκόντιον, ὅλη κατεστομωμένη τοῖς ἐκ τῶν γεγραμμένων
*javelin wholly sharpened with-the from the painted(-things)*
προβλήμασιν." Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην "ἀλλ'
*arguments I and to — Kratisthenes but*
αὐταῖς σοι ταῖς τῶν χρωμάτων βαφαῖς ἐκθηλυνθήσεται
*(the)-very for-you by-the of-the colors dyes will-be-softened*
τὸ ἀκόντιον· Ἔρως γὰρ προγέγραπται βασιλεύς, καὶ πᾶσα
*the javelin Eros for has-been-painted-first (as)-king and every*
φύσις ἀνδρῶν ὡς δούλη παρίστατο, ἄνδρες δὲ πάντως καὶ
*nature of-men as slave stood-by men and surely also*
οἷς ὁ γραφεὺς τοὺς καιροὺς μεθηρμόσατο· εἰ γοῦν τὸ
*to-whom the painter the seasons fitted if at-any-rate the*
πᾶν καὶ καθόλου δουλοῦται τῷ Ἔρωτι, πῶς τὸ μερικὸν
*all and universal is-enslaved — to-Eros how the partial*
ἐκφύγῃ τὴν δούλωσιν; εἰ δὲ καὶ πᾶν τμῆμα καιροῦ καὶ
*could-escape the slavery if and also every section of-time and*
διάστημα τὴν σύστασιν ἔσχηκεν ὡς ἐξ ὕλης ἐξ ἡμέρας
*interval the composition has-had as from matter from day*
καὶ νυκτός, αὗται δὲ δοῦλαι κατὰ τὴν γραφὴν καὶ τὸ
*and night these and slaves according-to the painting and the*
σὸν μυσταγώγημα, εὔδηλον ὡς καὶ τὸ ἐκ τούτων
*your initiation (it-is)-clear that also the(-thing) from these*
καὶ δι' αὐτῶν καὶ ὅλον ἐν ὅλαις αὐταῖς οὐκ ἀποφύγῃ
*and through them and whole in whole them not could-escape*
τὴν δούλωσιν, ἀλλ' ἄκον συνδουλαγωγηθήσεται."
*the slavery but unwilling will-be-enslaved-with(-them)*
Ταῦτ' εἶπον, καὶ τὸν Κρατισθένην εὐθὺς κατεφίλησα
*these(-things) I-said and — Kratisthenes at-once kissed*
"νικῶ σε" λέγων "Κρατίσθενες·" ὁ δ' "ἔστω, νενίκηκας·
*I-defeat you saying Kratisthenes he and so-be-it you-have-won*
γενώμεθα περὶ τὸ δωμάτιον."
*let-us-go to the chamber*

Καὶ γεγονότες ἀνακεκλίμεθα. Καί τις ψόφος περὶ τὸν κῆπον 21
*and having-come we-reclined and some sound in the garden*
γενόμενος τῆς κλίνης μ᾽ ἀνέσπασε· καὶ περὶ τὸ φρέαρ
*having-arisen from-the couch me drew-up and by the well*
τὴν Ὑσμίνην ὁρῶ, πρὸς ἣν κατεπέτασα, καὶ τοῦ ποδὸς
*— Hysmine I-see to whom I-flew-down and of-the foot*
ἐμνήσθην τοῦ Ἔρωτος ὅτι μὴ κατ᾽ ἄνθρωπον ἦν ἀλλ᾽ ὅλον
*I-remembered — of-Eros that not like (a)-man it-was but wholly*
πτερόν· καὶ τὸν ζωγράφον τῆς γραφῆς ἐμακάρισα, Ἔρως
*wing and the painter for-the painting I-blessed Eros*
γὰρ καὶ τοὺς ἐμοὺς τούτους πόδας ἐπτέρωσε· καὶ μηδὲν
*for also the my these feet winged and nothing*
αἰδεσθεὶς ὅλαις χερσὶ τὴν κόρην κατασχὼν κατεφίλησα·
*having-been-ashamed with-whole hands the girl having-seized I-kissed*
ἡ δ᾽ ἐξ αἰδοῦς καὶ θάμβους "τί πάσχεις;" ἀνέκραξε· "τῆς
*she and from shame and amazement what do-you-suffer cried-out what*
ἀναιδείας τοῦ κήρυκος·" ἐγὼ δ᾽ "οὐδὲν" εἶπον "ἄλλο πλὴν
*shamelessness of-the herald I and nothing said else except*
ἔρωτος τὴν πικρὰν ταύτην καὶ γλυκυτάτην μοι πάθησιν."
*of-love the bitter this and sweetest to-me suffering*
Καὶ πάλιν κατεφίλουν αὐτήν, καὶ πάλιν συνέσφιγγον
*and again I-kissed her and again squeezed*
καὶ ὅλην εἷλκον πρὸς ἑαυτόν, καὶ πρὸς τὴν ψυχὴν
*and whole drew to myself and into the soul*
μετεβίβαζον, καὶ τοῖς δακτύλοις κατέθλιβον, καὶ ὅλην
*transferred and with-the fingers pressed and whole*
κατέδακνον, ὅλην ἀνερρόφουν τοῖς χείλεσι καὶ ὅλος ὅλην
*bit whole drank-up with-the lips and whole whole*
ὡς κιττὸς συνεῖχον κυπάριττον· συνεπλεκόμην τῇ κόρῃ,
*as ivy held (a)-cypress I-was-entwined with-the girl*
συνερριζούμην αὐτῇ καὶ τὴν φύσιν ἐζήτουν κοινώσασθαι
*grew-together with-her and the nature I-sought to-share*

καὶ ἤθελον ὅλην καταφαγεῖν καὶ ὅλην αὐτὴν κατερεύγεσθαι·
*and I-wished whole to-devour and whole her to-belch-forth*
ὅλην ἦγον περὶ τὸ χεῖλος καὶ ὡς ἐκ σίμβλου τοῦ
*whole I-brought to the lip and as from (a)-hive of-the*
χείλους τῆς κόρης μέλι γλυκάζον ἐτρύγων τοῖς χείλεσιν.
*lip of-the girl honey sweet I-gathered with-the lips*
22 Ἡ δέ μοι γενομένη περὶ τὸ στόμα δάκνει μου τὸ χεῖλος καὶ
*she and to-me having-come to the mouth bites my the lip and*
τοὺς ὀδόντας αὐτῆς ὅλους τοῖς ἐμοῖς κατεφύτευσε χείλεσι·
*the teeth her wholly in-the my planted lips*
καί μοι περὶ τὴν ψυχὴν ἐβλάστησαν ἔρωτες καὶ γιγάντων
*and in-my about the soul sprouted loves even than-giants*
παλαμναιότεροι. Ἐγὼ δ' ἀλγήσας συνέσχον αὐτὰ καὶ
*more-murderous I and having-felt-pain drew-in them and*
οἷον ἐστέναξα, ἡ δ' "ἀλγεῖς τὰ χείλη;" φησίν· "ἀλλ'
*as-it-were groaned she and do-you-ache (in)-the lips says but*
ἤλγησα κἀγὼ τὴν ψυχήν, ὅτε μου ταῦτα καὶ σὺ τὸν
*ached I-too (in)-the soul when of-me these(-things) also you the*
ἔρωτα προπετῶς ἐπὶ τῆς τοῦ πατρὸς τραπέζης ἐξεφαύλισας."
*love rashly at the of-the father table disparaged*
Καὶ πρὸς τὴν κόρην ἐγὼ "ἰδού μοι τἆλλα τῶν μελῶν
*and to the girl I behold my the-rest of-the limbs*
θλιβέσθωσαν· τὰ δέ μοι χείλη τιμάσθω καθυπουργοῦντά
*let-them-be-pressed the but my lips let-them-be-honored serving*
μοι τοῖς φιλήμασιν. Εἰ δέ μοι κέντρον φέρεις ὡς
*me in-the kisses if and against-me (a)-sting you-bear as*
μέλιττα καὶ φυλάττεις τὸ σίμβλον καὶ πλήττεις τὸν τοῦ
*(a)-bee and guard the hive and strike the of-the*
μέλιτος τρυγητήν, ἐγκαρτερήσω τῷ σίμβλῳ, τὸν ἐκ τοῦ
*honey gatherer I-will-persist at-the hive the from the*
κέντρου πόνον ὑφέξω καὶ τρυγήσω τοῦ μέλιτος· οὐ γάρ
*sting pain I-will-undergo and I-will-gather of-the honey not for*

με στερήσει πόνος γλυκύτητος μέλιτος, ὥσπερ οὐδ' ἄκανθα
*me will-deprive pain of-sweetness of-honey just-as not-even (the)-thorn*
ῥόδου τοῦ ῥόδου κωλύσει με." Καὶ πάλιν ἐφίλουν αὐτὴν καὶ
*of-rose from-the rose will-keep me and again I-kissed her and*
πάλιν συνέθλιβον καί τι δρᾶν ἐπεχείρουν ἐρωτικώτερον·
*again squeezed and something to-do I-attempted more-amorous*
ἡ δ' "ἀλλ' οὐκ ἔσται σοι τοῦτο, νὴ τὴν Ὑσμίνην"
*she and but not will-be for-you this by — Hysmine*
ἔλεγεν· ἐγὼ δ' "οὐκ ἀνήσω, νὴ τὸν Ὑσμινίαν" ἀντέλεγον.
*said I and not will-let-go by — Hysminias replied*
Καὶ ἦν ἔρις παρ' ἡμῖν Σωφροσύνης καὶ Ἔρωτος, εἰ μή 23
*and was (a)-strife among us of-Temperance and of-Eros if not*
τις Αἰδῶ τὴν Σωφροσύνην ἐκείνην ἐθέλει καλεῖν· ὁ μὲν
*anyone Modesty — Temperance that wishes to-call he indeed*
γὰρ ὡς ἀπὸ γῆς μοι κρατῆρας ἀνῆπτε πυρός, ἡ δ' ὡς
*for as from earth in-me craters kindled of-fire she and as*
ἐξ οὐρανοῦ τὴν κόρην ἐψέκαζεν· ὁ μὲν ὅλας ἐξεκένου
*from heaven the girl sprinkled he indeed whole emptied*
φαρέτρας, ἡ δ' Αἰδὼς τῇ παρθένῳ ἀσπὶς ἑπταβόειος· ὁ
*quivers — and Modesty to-the maiden (a)-shield seven-hided he*
μέν μοι τὴν ἐν χερσὶ λαμπάδα κατ' ὀφθαλμῶν ἀνῆψεν
*indeed for-me the in hands torch against (the)-eyes kindled*
ἐρωτικῶς καὶ τὴν φλόγα πρὸς τὴν ψυχὴν μετερρίπιζεν,
*amorously and the flame to the soul fanned*
ἡ δ' ὅλας πηγὰς δακρύων ἐκ τῶν τῆς κόρης ὀφθαλμῶν
*she and whole springs of-tears from the of-the girl eyes*
ἀνεστόμωσεν. Ἀλλ' ὕδωρ Αἰδοῦς Ἔρωτος πῦρ οὐ
*opened-up but (the)-water of-Modesty of-Eros (the)-fire not*
κατέκλυσεν, ἀλλ' ἤδη στεφανίτης ἐγώ, καὶ Σωφροσύνης
*drowned but already crowned-one I and over-Temperance*
Ἔρως ἐκράτησεν ἄν, εἰ μή τις περὶ τὴν πύλην
*Eros would-have-prevailed — if not someone to the gate*

γενόμενος (τῆς δυστυχίας) τὴν Ὑσμίνην ἐζήτει. Πρὸς
*having-come what misfortune — Hysmine sought at*
ὃ δὴ σφόδρα καταθορυβηθέντες ἡμεῖς ἀπ' ἀλλήλων
*which indeed greatly alarmed we from one-another*
ᾠχόμεθα· καὶ ἡ μὲν παρθένος (εἰρήσθω γὰρ καὶ πάλιν
*went and the indeed maiden let-it-be-said for also again*
παρθένος· οὕτω γὰρ δοκεῖ Σωφροσύνῃ καὶ δαίμοσιν)
*maiden thus for it-seems-good to-Temperance and to-(the)-gods*
πρὸς τῷ φρέατι γέγονε· καὶ ἦν τοῖς περὶ τὸ στεφάνωμα
*by the well went and was by-the on the rim*
παρακαθημένη πτηνοῖς καὶ τούτοις προσπαίζουσα.
*sitting-beside birds and with-them playing*
24 Ἐγὼ δὲ περὶ τὸ δωμάτιον γεγονὼς ἀνεκεκλίμην εὐθὺς
*I and to the chamber having-come reclined at-once*
καὶ ὅλον τὸν ὑπνοῦντα καθυπεκρινόμην σοφῶς, ἑαυτὸν
*and whole the sleeper played cleverly myself*
μεταπλάττων ἐξ αἰδοῦς καὶ φόβου καὶ ἔρωτος. Τὸ κηρύκειον
*refashioning from shame and fear and love the herald's-staff*
ἠσχυνόμην, τὸν ἐκ δάφνης στέφανον, τὸ ἱερὸν πέδιλον,
*I-was-ashamed-before the of laurel crown the sacred sandal*
τὸν σεμνὸν χιτῶνα καὶ τὰ Διάσια· τὸν Σωσθένην ἐφοβούμην,
*the solemn tunic and the Diasia — Sosthenes I-feared*
τὴν Πανθίαν καὶ ὅλην Αὐλίκωμιν, καὶ μᾶλλον ἐμαυτοῦ τὴν
*— Panthia and whole Aulikomis and more than-myself —*
Ὑσμίνην ἠλέουν ἐξ ἔρωτος. Ὁ δὲ καλὸς Κρατισθένης τῆς
*Hysmine I-pitied from love the and fine Kratisthenes from-the*
κλίνης ἐξαναστὰς καὶ περὶ τὸν κῆπον γενόμενος καὶ μήτε
*couch having-risen and to the garden having-gone and neither*
τὴν Ὑσμίνην ἰδὼν μήτε τινὸς περὶ τὴν οἰκίαν ἀκούσας
*— Hysmine having-seen nor anyone's about the house having-heard*
φωνῆς (ἦν γὰρ πάνθ' ὁρῶν τὰ γινόμενα) πρός μ'
*voice he-was for all seeing the(-things) happening to me*

ἦκε λέγων "μηδέν σοι τοῦ πλάσματος." Ἐγὼ δ' ὅλος
*came saying nothing to-you of-the pretense I and wholly*
ἀνέστην ὑπότρομος· καὶ ὁ Κρατισθένης "τῆς δειλίας τοῦ
*rose trembling and — Kratisthenes what cowardice of-the*
κήρυκος." Ἐγὼ δ' ὅμως καὶ πάλιν ἤμην ὑπότρομος, καὶ
*herald I and nevertheless also again was trembling and*
τὴν Ὑσμίνην ἐζήτουν ἰδεῖν λέγων "ὠλώλειν, Κρατίσθενες."
*— Hysmine I-sought to-see saying I-was-lost Kratisthenes*
Καὶ ὁ Κρατισθένης "σίγα" φησὶ "καὶ περὶ τὸν ὕπνον
*and — Kratisthenes be-silent says and to the sleep*
γενώμεθα· σοφὸν γάρ τοι κἀν κακοῖς ἃ δεῖ φρονεῖν."
*let-us-go wise for surely even-in evils what (one)-must to-think*
Κἀγὼ δ' ἐσίγων μέν, ἀλλά μου τοὺς ὀφθαλμοὺς ὁ 25
*I-too and was-silent indeed but my the eyes the*
ὕπνος ἐμίσησε καὶ δυσωπούμενος ἔφυγε, καὶ ἤμην ὅλος
*sleep hated and abashed fled and I-was wholly*
ἄγρυπνος, ὅλος ὅλας ἀναπλάττων ὑποθέσεις τῷ λογισμῷ
*sleepless wholly whole fashioning scenarios in-the thought*
καὶ τέλος ὡς "οὐκέτι τὴν καλὴν Ὑσμίνην καταφιλήσω,
*and finally that no-longer the fair Hysmine I-will-kiss*
οὐκέτι καταθλίψω τοὺς δακτύλους ἐρωτικῶς, οὐκέτι κατὰ
*no-longer I-will-press the fingers amorously no-longer like*
κιττὸν συμπλακήσομαι, οὐκέτι νέκταρ, ἀλλὰ κόνδυ πικρίας
*ivy I-will-be-entwined no-longer nectar but (a)-cup of-bitterness*
κατακεράσομαι, οὐκέτι τρυγήσω τοῦ μέλιτος, οὐκέτι τῷ
*I-will-mix no-longer I-will-gather of-the honey no-longer by-the*
κέντρῳ πληγήσομαι, οὐκ ἐκροφήσω τὴν κόρην τοῖς
*sting I-will-be-struck not I-will-drink-up the girl with-the*
χείλεσιν, ἃ πάντα σπουδάζων ἐρωτικῶς ἔπαιζον." Ταῦτ'
*lips which all being-earnest amorously I-played these(-things)*
ἐπλαττόμην εἰς νοῦν, καὶ τὸ δάκρυον κατὰ ποταμοὺς
*I-fashioned in mind and the tear in rivers*

τῶν ὀφθαλμῶν ἐξεχεῖτό μοι, ὅ μου κατακλύσαν τοὺς
*from-the eyes poured my which my having-flooded the*
λογισμοὺς ἐναπέπνιξε καὶ καταμεθύσαν εἰς ὕπνον μετήγαγε.
*thoughts drowned(-them) and having-made-drunk into sleep brought(-me)*

## V · THE SHARED CUP

*Hysminias dreams of Hysmine in his arms and at a wedding feast, then of Panthia dragging her off by the hair and arming the women against him, until Kratisthenes wakes him. Among a chorus of maidens Hysmine returns his bow, and Eurykomis brings its herald home in triumph. Themisteus hosts Sosthenes, Panthia, and Hysmine, and at dinner the lovers share one cup. Before dawn, while the parents sacrifice, he goes to her bed; she kisses him but refuses her maidenhood. Fearing he will be wed to another at home, she vows to keep it for him, and he likewise.*

1 Καὶ δή με κατακοιμώμενον ὅλος χορὸς ὀνείρων
*and indeed me sleeping (a)-whole chorus of-dreams*
περιεστοίχισε καί μοι συνέπαιζε καὶ κατέπαιζεν
*surrounded and with-me played and mocked(-me)*
ὅσα παίζουσιν ὄνειροι. Ὁ μέν μοι τὴν
*as-many(-games)-as play dreams the(-one) indeed for-me —*
Ὑσμίνην ὑπεζωγράφησε συμπαίζουσαν, φιλουμένην,
*Hysmine painted playing-with(-me) being-kissed*
φιλοῦσαν, δακνομένην ἐρωτικῶς, ἀντιδάκνουσαν, ὅλην
*kissing being-bitten amorously biting-back wholly*
συμπλεκομένην μοι καὶ καταπλεκομένην ἐξ ἔρωτος·
*entwined with-me and enfolded from love*
ὁ δέ μοι καὶ συνανέκλινε ταύτην καὶ στρωμνὴν
*the(-other) and with-me also laid-down her and (a)-bed*
ἐρωτικῶν χαρίτων ὑπέστρωσε, φιλημάτων, γαργαλισμάτων,
*of-amorous graces spread-beneath of-kisses of-ticklings*

θλίψεων σαρκῶν, συμπλοκῶν χειρῶν καὶ τῶν ἄλλων μελῶν·
*of-pressings of-flesh of-entwinings of-hands and of-the other limbs*
ὁ δέ τις αὐτῶν ὅλον βαλανεῖον ἐδημιούργησε καί
*the and certain(-one) of-them (a)-whole bath built and*
μοι τὴν Ὑσμίνην συνέλουσε καὶ πάσας ἐρωτικὰς ἐξεκένωσε
*with-me — Hysmine bathed and all amorous poured-out*
χάριτας· περὶ τὸ στῆθος τῆς κόρης ὅλον μοι τὸ στόμα
*graces upon the breast of-the girl whole my the mouth*
συνέρραψε τοῖς ὀδοῦσι δάκνον, τοῖς χείλεσιν ἐκμυζῶν καὶ
*stitched with-the teeth biting with-the lips sucking and*
τῇ γλώσσῃ μεταβιβάζον εἰς τὴν ψυχὴν τὸν λωτόν· ἃ
*with-the tongue transferring into the soul the lotus which*
πάνθ' ἡ κόρη περὶ τὸν ἐμὸν ἀντέπραττε τράχηλον. Καὶ
*all the girl about the my did-in-return neck and*
θέλων παίζειν ἐρωτικῶς τὸ λουτρὸν ἐξεπύρωσε· καί με
*wishing to-play amorously the bath he-heated and me*
καταδιψήσας καὶ τεχνικῶς κατακαυματώσας τοὺς μαστοὺς
*having-made-thirsty and artfully having-scorched the breasts*
τῆς κόρης κρουνούς μοι παρεῖχε γλυκάζοντας· οὓς τῷ
*of-the girl (as)-springs to-me offered sweet which to-the*
στόματι παραθέμενος τῆς ψυχῆς μοι τὸ καῦμα κατέψυχε,
*mouth having-set of-the soul my the heat he-cooled*
ψυχρὰν ἡδονὴν πηγάζων γλυκυτέραν καὶ νέκταρος, καὶ
*cold pleasure welling sweeter even than-nectar and*
τέλος ταῖς ἀλλήλων ὠλέναις ἡμᾶς κατεκοίμισεν.
*finally in-the of-one-another arms us he-laid-to-sleep*

Ἄλλος παστάδα κατέπηξε, νυμφοστολήσας ταύτην 2
*another (a)-bridal-chamber built having-arrayed it*
λαμπρῶς καὶ φιλοτίμως νυμφαγωγήσας, καὶ συστεφανώσας
*brilliantly and lavishly having-led-as-bride and having-crowned-together*
μοι τὴν Ὑσμίνην μεγαλοπρεπῶς συνεκάθισε καὶ
*with-me — Hysmine magnificently seated(-her)-beside(-me) and*

τράπεζαν παρετίθετο καὶ τὸν ὑμέναιον ᾖδε καὶ τοὺς
*(a)-table set-out and the wedding-song sang and the*
ἔρωτας ἔπλαττε περὶ τὴν τράπεζαν ὀρχουμένους καὶ
*loves fashioned around the table dancing and*
παίζοντας ὅσα παίζουσιν ἔρωτες.
*playing as-many(-games)-as play loves*

3 Ὁ δέ μοι πλάττει τὸν κῆπον παλαμναιότατος ὄνειρος,
*the(-other) and for-me fashions the garden most-murderous dream*
καὶ τὴν Ὑσμίνην εἰσάγει κἀμὲ τῆς κλίνης ἀνίστησι,
*and — Hysmine brings-in and-me from-the couch raises*
περὶ τὴν κόρην ἐξάγει, καθυπουργεῖ μοι τὸν ἔρωτα.
*to the girl leads-out serves me (in)-the love*
Κἀγὼ τὴν παρθένον ἐφέλκομαι τὰ πρῶτα μὴ θέλουσαν,
*and-I the maiden draw the first not willing*
συνέχω, θλίβω, δάκνω, φιλῶ, περιπλέκομαι, καί τι
*I-hold press bite kiss embrace and something*
δρᾶν ἐθέλων ἐρωτικώτερον οὐ συνεχωρούμην τῇ κόρῃ καὶ
*to-do wishing more-amorous not I-was-allowed by-the girl and*
πρὸς ἔριν μετάγω τὸν ἔρωτα. Ἐν μέσοις τούτοις ἡ
*to strife I-turn the love in (the)-midst of-these(-things) the*
τῆς κόρης μήτηρ ἐφίσταται, καὶ τοῦ πλοκάμου λαβομένη
*of-the girl mother appears and by-the hair having-taken*
τὴν κόρην ὡς ἐκ λείας ἐφέλκεται λάφυρον, λοιδοροῦσα
*the girl as from plunder drags-off (a)-spoil reviling*
τῇ γλώσσῃ καὶ πλήττουσα τῇ χειρί· ἐγὼ δ' ὥσπερ
*with-the tongue and striking with-the hand I and as-if*
κατακεραυνωθεὶς ὅλος ἤμην ἐμβρόντητος. Ἀλλ' ὁ πάντων
*thunderstruck wholly was stunned but the of-all*
ὀνείρων ἀγριώτατος ὄνειρος οὔτε μ' ἀφῆκεν ἀναισθητεῖν καὶ
*dreams most-savage dream neither me allowed to-be-senseless and*
τὴν τῆς Πανθίας γλῶσσαν εἰς Τυρσηνικὴν μετεχάλκευσε
*the — of-Panthia tongue into (a)-Tyrrhenian reforged*

σάλπιγγα κατατραγῳδοῦσαν τὰ κατ᾽ ἐμὲ καὶ
*trumpet tragically-declaiming the(-things) about me and*
καταλοιδοροῦσάν μοι τὸ κηρύκειον "βαβαὶ τῆς σκηνῆς, τῆς
*reviling my the herald's-staff ah what show what*
ὑποκρίσεως" λέγουσαν "Ζεῦ καὶ θεοί· ὁ κήρυξ, ὁ παρθένος,
*pretense saying Zeus and gods the herald the virgin*
ὁ τῆς δάφνης ἐστεφανωμένος, ὁ τὰ Διάσια φέρων
*the(-one) with-the laurel crowned the(-one) the Diasia bringing*
εἰς Αὐλικώμιδα, ὁ παρ᾽ ἡμῖν ἴσα καὶ θεῷ φιλοτίμως
*to Aulikomis the(-one) among us equally as (a)-god lavishly*
φιλοφρονούμενος, μοιχός, ἀκόλαστος, βιαστής, δεύτερος
*being-welcomed adulterer licentious violator (a)-second*
Πάρις εἰς Αὐλικώμιδα κατασυλᾷ μου τὸν θησαυρόν,
*Paris in Aulikomis plunders my the treasure*
ἀνορύττει μου τὸ κειμήλιον. Ἀλλ᾽ ἔχω σε τὸν λῃστήν, τὸν
*digs-up my the heirloom but I-have you the robber the*
τοιχωρύχον, τὸν ἀλιτήριον, τὸν ἀποσυλῶντα τὰ κάλλιστα.
*housebreaker the villain the(-one) stripping the fairest(-things)*
Μητέρες ὅσαι παρθενικοὺς θησαυροὺς κατορύττεσθε καὶ
*mothers as-many-as maidenly treasures bury and*
περὶ τὴν φυλακὴν ἀγρυπνεῖτε τῶν θησαυρῶν, ἰδοὺ τὸν
*over the guarding keep-awake of-the treasures behold the*
ἐπίβουλον ἔχω τῷ τῆς δάφνης στεφάνῳ κατακρυπτόμενον,
*plotter I-have by-the of-the laurel crown hidden*
τῷ σεμνῷ χιτῶνι, τῷ ἱερῷ πεδίλῳ καὶ τῷ κηρύγματι,
*by-the solemn tunic by-the sacred sandal and by-the heralding*
ὅλην ἐνδεδυμένον τὴν λεοντῆν, ὅλην ὑποπλαττόμενον τὴν
*whole wearing the lion-skin whole feigning the*
σκηνήν. Οἷς ὁ γλυκὺς ἀντιπνεύσας τῆς σωφροσύνης
*show against-which the sweet having-blown-against of-the temperance*
ζέφυρος ἐλέγχει τὸν δόλον, ἀπογυμνοῖ τὸ κρυπτόμενον·
*west-wind exposes the trick strips-bare the(-thing) hidden*

καὶ νῦν οὐκέτι κήρυξ ὁ κήρυξ, ἀλλ᾽ ἅρπαξ, ἀλλὰ
*and now no-longer herald the herald but plunderer but*
λῃστής, ἀλλὰ τύραννος. Λάινον τῷ τυράννῳ τὸν χιτῶνα,
*robber but tyrant stone for-the tyrant the tunic*
γυναῖκες, ἐξυφανούμεθα· καταζωγραφήσωμεν τὴν σκηνήν,
*women we-shall-weave let-us-paint the show*
τὴν ὑπόκρισιν τεχνουργήσωμεν καὶ στηλιτεύσωμεν τῷ
*the pretense let-us-craft and let-us-pillory on-the*
χιτῶνι τὸν τύραννον, ἵν᾽ ᾖ τοῦτο γυναιξὶ κόσμος,
*tunic the tyrant that may-be this for-women (an)-ornament*
παρθένοις τεῖχος, καὶ στέφανος Αὐλικώμιδος.
*for-maidens (a)-wall and (a)-crown of-Aulikomis*

Τί δ᾽; οὐ γυναῖκες εἶλον Αἰγύπτου τέκνα
*what and not women took of-Aigyptos children*
καὶ Λῆμνον ἄρδην ἀρσένων ἐξῴκισαν;
*and Lemnos utterly of-males emptied*

Πολυμήστωρ δ᾽ οὐκ ἐκ γυναικῶν ἐξεκόπη τοὺς ὀφθαλμούς;᾽᾽
*Polymestor and not by women was-cut-out (in)-the eyes*
4 Ταῦτ᾽ εἶπε καὶ στρατὸν καθώπλισε γυναικῶν
*these(-things) she-said and (an)-army armed of-women*
καὶ παντελῶς κατεβάκχευσε καὶ κατ᾽ ἐμῆς κεφαλῆς
*and utterly maddened(-them) and against my head*
ἐξεστράτευσεν· ἐγὼ δ᾽ ἐξεθαμβήθην ὁρῶν καὶ πρὸς τὸν
*marched-out I and was-astounded seeing and to —*
Κρατισθένην ἔλεγον ᾽᾽ὠλώλειν, Κρατίσθενες.᾽᾽ Ὁ δέ μου
*Kratisthenes I-said I-was-lost Kratisthenes he and by-my*
τῇ γλώσσῃ καταθορυβηθεὶς ἀνίσταται τῆς στρωμνῆς,
*the tongue alarmed rises from-the bed*
πλήσσει με τῇ χειρὶ καὶ τὸν μὲν ὄνειρον τῆς
*strikes me with-the hand and the indeed dream from-the*

ψυχῆς, τὸν δ' ὕπνον ἀποσπᾷ μου τῶν ὀφθαλμῶν. Ἐγὼ
*soul the and sleep draws-away from-my the eyes I*
δ' ἐδόκουν νὴ τοὺς θεοὺς ἔτι τὰς γυναῖκας ὁρᾶν, καὶ
*and seemed by the gods still the women to-see and*
πρὸς τὸν Κρατισθένην ἔλεγον "ἀπολώλαμεν, ἀπολώλαμεν·
*to — Kratisthenes I-said we-are-lost we-are-lost*
Πανθία στρατεύει, καὶ γυναῖκες τὸ στράτευμα· Ζεὺς δὲ
*Panthia campaigns and women the army Zeus and*
πρῶτον κατεστρατήγησεν, οὗ τὸ κηρύκειον ἔψευσμαι."
*first outgeneraled(-me) whose the herald's-staff I-have-betrayed*
Καὶ ὁ Κρατισθένης "ἔτι δοκεῖς ὀνειρώττειν μοι·" ἐγὼ δὲ 5
*and — Kratisthenes still you-seem to-dream to-me I and*
πρὸς αὐτὸν
*to him*

"ἀποπέμπομαι ἔννυχον ὄψιν,"
*I-send-away nightly vision*

καὶ τὰ περὶ τοὺς ὕπνους ἐξηγούμην αὐτῷ, ὅσα με
*and the(-things) about the sleep I-recounted to-him how-much me*
κατέπαιζον ὄνειροι, ὅσα με κατεγλύκαινον, ὅσα μου
*mocked dreams how-much me sweetened how-much of-me*
πρὸς ἡδονὴν μετεπλάττοντο, καὶ τέλος τὸν κῆπον, τὴν
*to pleasure were-refashioned and finally the garden —*
Ὑσμίνην, τὴν σωφροσύνην αὐτῆς, τὴν ἐμὴν βίαν, τὴν ἔριν,
*Hysmine the temperance her the my force the strife*
καὶ τὴν ἐπὶ τούτοις τῆς Πανθίας ἐπίθεσιν, τὸν ἑλκυσμὸν
*and the upon these — of-Panthia attack the dragging*
τῆς κόρης, τὴν κατ' ἐμοῦ μηχανήν, τὴν καταδρομήν, τὴν
*of-the girl the against me device the onslaught the*
ὕβριν, καὶ ἐπὶ πᾶσι τὸ τῶν γυναικῶν στράτευμα. "Πρὸς
*outrage and upon all the of-the women army at*

ὃ δὴ σφόδρα καταθορυβηθεὶς τὴν ψυχὴν σὲ τὸν καλὸν
*which indeed greatly alarmed (in)-the soul you the fine*
Κρατισθένην ἐπεκαλούμην πυκνά· καὶ δέδοικα μὴ τὸ μέλλον
*Kratisthenes I-called-on often and I-fear lest the future*
μοι τὸ δαιμόνιον ἐν ὀνείροις ὑπεζωγράφησεν· εἴθισται γὰρ
*for-me the divinity in dreams has-painted it-is-wont for*
τούτῳ προκηρύσσειν ἐν ὕπνοις τὰ μέλλοντα." Καὶ ὁ
*for-it to-foretell in sleep the(-things) coming and —*
Κρατισθένης "μεθημερινὴ φροντίς ἐστιν ὄνειρος· ταῦτά
*Kratisthenes (a)-daytime care is (a)-dream these(-things)*
σε καθυπέτρεχεν, ὅθ' ὁ περὶ τὴν πύλην ψόφος ὑμᾶς ἀπ'
*you ran-through when the at the gate sound you from*
ἀλλήλων διέσπασεν· ἀλλ' ἤδη τὸν Σωσθένην ὁρῶ πρὸς ἡμᾶς
*one-another tore but already — Sosthenes I-see to us*
ἐρχόμενον σπουδαιότερον." Ἐγὼ δ' "ὠλώλειν" ὑπεψιθύρισα.
*coming rather-hurriedly I and I-was-lost whispered*

6 Ἦκεν ὁ Σωσθένης καὶ περὶ τὴν πύλην τοῦ δωματίου
*came — Sosthenes and to the gate of-the chamber*
γενόμενος "Ὑσμινία κήρυξ" φησὶν "ἰδού σοι πᾶσα
*having-come Hysminias herald says behold for-you (the)-whole*
πόλις Αὐλίκωμις πρὸ πυλῶν· πάντες ζητοῦσι τὸν κήρυκα·
*city Aulikomis before (the)-gates all seek the herald*
τὴν κεφαλὴν στεφανώθητι, τῷ χιτῶνι καὶ τῷ πεδίλῳ
*(on)-the head be-crowned with-the tunic and the sandal*
κατακοσμήθητι, ὅλον περιδύθητι τὸ κηρύκειον, ἵνα σε καὶ
*be-adorned whole put-on the herald's-staff that you also*
Ποσειδῶν αἰδεσθῇ καὶ πνεῦμα θύσῃ Διὶ μετάγον εἰς
*Poseidon may-respect and (a)-wind may-blow for-Zeus carrying(-you) to*
Εὐρυκώμιδα." Ἐγὼ δ' ἀλλὰ κἂν ἐδεδοίκειν, κἂν ἔφριττον,
*Eurykomis I and but even-if I-had-feared even-if I-shuddered*
κἂν σχηματισμὸν τὰ τοῦ Σωσθένους εἶχον καὶ ὅλην
*even-if (a)-pretense the(-things) — of-Sosthenes I-held and whole*

σκηνήν, ἐνεδυσάμην τὸν κήρυκα· καὶ περὶ τὸν κῆπον
*show I-put-on the herald and to the garden*
γενόμενος χορὸν ὁρῶ παρθένων οὐκ εὐαρίθμητον, ὃν δὴ
*having-come (a)-chorus I-see of-maidens not easily-counted which indeed*
πάντα καὶ χιτὼν κατεκόσμει περικαλλὴς καὶ στέφανος ἐκ
*all both (a)-tunic adorned very-fair and (a)-crown of*
δάφνης τὴν παρθενίαν παραδεικνύς. Εἶδον οὖν καὶ νὴ τὸν
*laurel the maidenhood showing I-saw then and by the*
τύραννον Ἔρωτα τοῖς ἔργοις αὐτὸν ὁρᾶν ἐδόκουν τὸν
*tyrant Eros in-the deeds (the)-very to-see I-seemed the*
ὄνειρον· καὶ μικροῦ δεῖν καὶ αὐτὴν τὴν ψυχὴν ἀπεφύσησα,
*dream and by-little to-lack even (the)-very the soul I-breathed-out*
εἰ μὴ καὶ τὴν Ὑσμίνην εἶδον ἐν μέσῳ κατὰ σελήνην ἐν
*if not also — Hysmine I-saw in (the)-midst like (the)-moon among*
ἄστρασι, τἆλλα μὲν κατακεκοσμημένην βασιλικῶς, τὴν
*stars in-the-rest indeed adorned royally (on)-the*
δὲ κεφαλὴν ἐκ δάφνης ἐστεφανωμένην παρθενικῶς. Ὅλην
*and head with laurel crowned maidenly wholly*
τοίνυν ἀτενῶς τὴν κόρην ἰδὼν καὶ τὴν κεφαλὴν
*therefore intently the girl having-looked-at and the head*
ὑποκλίνας ὑπέκλεψα τὸ προσκύνημα· ἡ δὲ καθυποκριθεῖσα
*having-bowed I-stole the obeisance she and having-pretended*
τὸ τὸν χιτῶνα διακοσμεῖν ἀντεπροσκύνησε φανερώτερον καὶ
*the the tunic to-arrange bowed-back more-openly and*
λίαν ἐρωτικὸν ἐμειδίασε καί μου τὴν ψυχὴν ὅλην ἐπλήρωσεν
*very amorously smiled and my the soul whole filled*
ἡδονῆς ἀρρήτου καὶ χάριτος, καὶ θάρρους ἐνέπλησεν.
*with-pleasure unspeakable and grace and with-courage filled*
Ἥκω περὶ τὴν πύλην τοῦ κήπου καὶ πᾶσαν ὁρῶ τὴν 7
*I-come to the gate of-the garden and (the)-whole I-see —*
Αὐλίκωμιν ποικίλην μοι τὴν προπομπὴν ἐξυφαίνουσαν
*Aulikomis varied for-me the procession weaving*

ᾠδαῖς, κυμβάλοις, λαμπάσι, παστάσι, ῥόδοις, ἄνθεσιν,
*with-songs cymbals torches canopies roses flowers*
ὕμνοις, ἀλαλαγμοῖς καὶ πᾶσιν ἄλλοις ὅσα μὴ κήρυξιν
*hymns cries and all other(-things) as-many-as not to-heralds*
ἀλλὰ θεοῖς ἀφωσίωται. Καὶ ἵνα μὴ δοκῶ σοι δοξομανεῖν
*but to-gods are-dedicated and that not I-seem to-you to-be-mad-for-glory*
κατὰ μέρος καταρρητορεύων τῷ λόγῳ τὴν προπομπήν,
*in detail declaiming in-the account the procession*
οὕτω τὴν καλὴν ἐξῆλθον Αὐλίκωμιν, τὴν τῆς Ὑσμίνης
*thus the fair I-left Aulikomis the — of-Hysmine*
πατρίδα, τὴν καλλιγύναικα, ὡς Ὀλυμπιονίκης καὶ νικήσας
*fatherland the of-fair-women as (an)-Olympic-victor and having-won*
τὸ πένταθλον, καί, ἵνα τἀν μέσῳ παρῶ, περὶ
*the pentathlon and that the(-things)-in between I-may-pass-over to*
τὴν ἐμὴν ἦκον Εὐρύκωμιν.
*the my I-came Eurykomis*

8 Καὶ πάλιν ἡ πόλις ὀρθή, καὶ πάλιν ὄχλος ἐπὶ τὸν
*and again the city upright and again crowd for the*
κήρυκα, καὶ πάλιν ἔρις ἐν πόλεσι· δοκεῖ γάρ μοι πόλις
*herald and again strife among cities seems for to-me (the)-city*
Εὐρύκωμις πατρὶς ἐμὴ πρὸς αὐτὴν ἐρίζειν Αὐλίκωμιν τὴν
*Eurykomis fatherland my with (the)-very to-contend Aulikomis the*
τῆς Ὑσμίνης πατρίδα καὶ μὴ παραχωρεῖν τῶν πρωτείων
*— of-Hysmine fatherland and not to-yield the first-prize*
τῆς προπομπῆς. Οὕτω τοίνυν, οὕτω λαμπρῶς, οὕτω
*of-the procession thus therefore so brilliantly so*
φιλοτίμως, οὕτω βασιλικῶς ἐπ᾽ αὐτὸν ἥκω βωμὸν Ξενίου
*lavishly so royally to (the)-very I-come altar of-Xenian*
Διός, καί μοι συνείπετο πᾶν τὸ συνεκπλεῦσαν
*Zeus and me followed all the(-company) having-sailed-with(-me)*
ἐξ Αὐλικώμιδος. Ἀλλ᾽ ἐμὸς πατὴρ Θεμιστεὺς καὶ
*from Aulikomis but my father Themisteus and*

μήτηρ Διάντεια ἐν μέσῳ λαμπρῷ θεάτρῳ καὶ μέσοις
*mother Dianteia in (the)-middle brilliant theater and (the)-midst*
ὄχλοις περιχυθέντες με περιπτύσσονται, συμπλέκονται,
*crowds having-thronged-around me embrace entwine*
καταπλέκονται, τοῖς ἐξ ἡδονῆς με καταβρέχουσι δάκρυσι
*enfold with-the from joy me drench tears*
καί με περὶ τὸν οἶκον μετάγουσιν.
*and me to the house bring*
Ἐγὼ δ' "ἀλλὰ καὶ τὸν Σωσθένην" εἶπον, "ὅτι με λαμπρῶς 9
*I and but also — Sosthenes said because me brilliantly*
μάλα καὶ φιλοτίμως ἐς Αὐλίκωμιν ἐφιλοφρονήσατο."
*very and lavishly in Aulikomis he-welcomed*
Πείθεταί μοι τῷ λόγῳ πατὴρ Θεμιστεὺς καὶ πρὸς αὐτὸν
*is-persuaded by-me by-the word (my)-father Themisteus and to him*
γεγονὼς "χαίροις, Σώσθενες" εἶπε, "καί σοι χάρις παρὰ
*having-come rejoice Sosthenes said and to-you thanks with*
Ξενίῳ Διὶ τῆς φιλοφροσύνης τοῦ κήρυκος." Καὶ τοῦτον
*Xenian Zeus for-the welcome of-the herald and him*
σὺν ἡμῖν ἐπὶ τὴν ἡμετέραν μετήγαγε, σὺν αὐτῇ Πανθίᾳ,
*with us to the our(-house) brought with (the)-very Panthia*
σὺν Ὑσμίνῃ καὶ σὺν ὅσοι τῷ Σωσθένει πρὸς Εὐρύκωμιν
*with Hysmine and with as-many-as — with-Sosthenes to Eurykomis*
ἐξ Αὐλικώμιδος συμπεπλεύκασιν· ἥκομεν οὖν ἐπὶ τὴν
*from Aulikomis have-sailed-with(-him) we-came then to the*
οἰκίαν, καὶ τράπεζα παρετίθετο, καὶ ἡμεῖς συνανεκλινόμεθα.
*house and (a)-table was-set-out and we reclined-together*
Ἐκ μὲν οὖν τῆς περὶ τὸν κῆπον τῆς τραπέζης πλευρᾶς
*on indeed then the toward the garden of-the table side*
πατὴρ ἐμὸς Θεμιστεὺς καὶ μήτηρ Διάντεια καὶ τρίτος ἐγώ,
*father my Themisteus and mother Dianteia and third I*
ὅλον ἀποθέμενος τὸ κηρύκειον· ἐκ δὲ θατέρου Σωσθένης
*whole having-put-off the herald's-staff on and the-other Sosthenes*

πατὴρ Ὑσμίνης, Πανθία μήτηρ· καὶ μετὰ δὴ τὴν μητέρα
*father of-Hysmine Panthia mother and after indeed the mother*
τὴν Ὑσμίνην ἡ τάξις ἐκάλεσεν· ἐγὼ γοῦν καθ' αὐτὸν
*— Hysmine the order called I at-any-rate by myself*
τὴν τάξιν ἐπήνεσα καὶ ταύτης ἐμαυτὸν ἐμακάρισα, τὸ
*the order praised and for-it myself I-blessed the*
πρᾶγμα κρίνων οἰωνὸν αἰσιώτατον, κἀξ αὐτῆς, ὅ φασι,
*thing judging (an)-omen most-auspicious and-from (the)-very as they-say*
γραμμῆς εὐτυχεῖν ἐδόκουν τὸν ἔρωτα.
*starting-line to-succeed I-seemed (in)-the love*
Πότου γοῦν ἐκάλει καιρός, καὶ παρὰ Σωσθένει καὶ
*of-drinking at-any-rate called (the)-time and between Sosthenes and*
Θεμιστεῖ πατράσιν ἡμῶν μικρὸν ὑπέπαιζεν ἔρις, οὐχ ὡς
*Themisteus fathers our a-little played (a)-strife not as*
παίζουσιν ἔριδες, ἀλλ' ὡς οἶδε παίζειν ἐν γέρουσι φρόνησις.
*play strifes but as knows to-play in old-men prudence*
Προπίνει γοῦν Σωσθένης ἡττώμενος καὶ Θεμιστεὺς νικῶν
*drinks-first at-any-rate Sosthenes yielding and Themisteus winning*
μετ' αὐτόν (νίκη γὰρ παρ' αὐτοῖς, ὃ παρὰ μὴ φρονοῦσιν
*after him victory for among them what among not (the)-sensible*
ἥττα λογίζεται), καὶ μετ' αὐτοὺς αἱ γυναῖκες τιμῶσαι σιγήν,
*defeat is-reckoned and after them the women honoring silence*
ὅτι καὶ κόσμος ταῖς γυναιξὶν ἡ σιγή. Μετὰ γοῦν
*because also (an)-ornament to-the women (is)-the silence after at-any-rate*
τὴν Πανθίαν καὶ τὴν ἐμὴν μητέρα Διάντειαν ἦκε φέρων ἐπ'
*— Panthia and the my mother Dianteia came bringing to*
ἐμὲ Κρατισθένης τὸ ἔκπωμα· τούτῳ γὰρ ὁ πατὴρ οἰνοχοεῖν
*me Kratisthenes the cup to-him for the father to-pour-wine*
ἐγκελεύεται· ἐγὼ δὲ λαβὼν μικρὸν ἐξερρόφησα· εἶθ'
*orders I and having-taken(-it) a-little sipped then*
ὡς ἐκ μεταμέλου πρὸς τὸν δόντ' ἀντιδέδωκα,
*as from regret to the(-one) having-given(-it) I-gave-back*

καταλοιδορήσας αὐτῷ τῆς ἀταξίας καὶ τῆς τῆς εὐταξίας
*having-chided him for-the disorder and for-the of-the good-order*
συγχύσεως· ἡ γὰρ τάξις τῇ κατὰ μέτωπόν μου παρθένῳ
*confusion the for order to-the in front of-me maiden*
τὸ προπιεῖν ἐχαρίσατο. Ὁ δὲ πεισθεὶς πρὸς αὐτὴν ἐκόμισε
*the to-drink-first granted he and persuaded to her brought*
τὸ ποτήριον· ἡ δ' ὅλαις χερσὶν ὑπεδέξατο, κἂν ὡς
*the cup she and with-whole hands received(-it) even-if as*
παρθένος ἄκροις δακτύλοις ἐδέξατο· καὶ τὸν νοῦν ὅλον
*(a)-maiden with-tips-of fingers she-received(-it) and the sense whole*
καταλαβοῦσα τοῦ δράματος εὐχαριστεῖ μοι τῷ σχήματι,
*having-grasped of-the drama thanks me with-the gesture*
μικρὸν τὴν κεφαλὴν ἐρωτικῶς ὑποκλίνασα, οἷον κυπάριττος
*a-little the head amorously having-bowed like (a)-cypress*
ἀνεμουμένη μικρὸν ἐξ εὐκραοῦς ζεφύρου λεπτοῦ· καὶ ἦν
*stirred a-little by (a)-temperate west-wind light and was*
τὸ σχῆμα χαρίτων μεστὸν καὶ εἴδωλον Ἔρωτος. Οὕτως
*the gesture of-graces full and (an)-image of-Eros thus*
ἐκοινούμεθα τὸ ποτήριον, καὶ ἦμεν ὅλοι συμπίνοντες καὶ
*we-shared the cup and we-were wholly drinking-together and*
λίαν ἐρωτικῶς καταπίνοντες· οὕτω τὰ χείλη παραδόξως
*very amorously drinking-down thus (in)-the lips marvelously*
ἀνακεκράμεθα, ὅλον ἐρώτων ἐρατὸν ὀπὸν ἀμελγόμενοι καὶ
*we-have-been-mingled whole of-loves lovely juice milking and*
ὅλους ἀλλήλους τοῖς ὀφθαλμοῖς μεθέλκοντες ἐπὶ τὰς ψυχάς.
*wholly one-another with-the eyes drawing to the souls*
Πότου καὶ πάλιν καιρός· καὶ πάλιν Κρατισθένης κιρνᾷ, 11
*of-drinking also again (the)-time and again Kratisthenes mixes*
καὶ πάλιν Σωσθένης προπίνει, καὶ μετ' αὐτὸν ὁ πατήρ,
*and again Sosthenes drinks-first and after him the father*
Πανθία συνήθως καὶ μήτηρ Διάντεια, καὶ μετ' αὐτὴν
*Panthia as-usual and mother Dianteia and after her*

Ὑσμίνη παρθένος ἔρωτος πνέουσα· ἡ δὲ κατὰ παρθένον
*Hysmine (the)-maiden of-love breathing she and like (a)-maiden*
ἄκροις δακτύλοις δεξαμένη τὸ ἔκπωμα καὶ τοῖς χείλεσι
*with-tips-of fingers having-received the cup and to-the lips*
παρθενικῶς προσεγγίσασα καὶ μόνον γευσαμένη τοῦ
*maidenly having-brought(-it)-near and only having-tasted of-the*
πόματος ὅλον ἀντιδέδωκε τὸ ποτήριον, παρθενικῆς αἰδοῦς
*drink whole has-given-back the cup maidenly shame*
καθυπουργησάσης τῷ πλάσματι. Καὶ πρὸς τὸν Κρατισθένην
*having-served the pretense and to — Kratisthenes*
ἐγὼ (οὐδὲ γὰρ οὐδ' ἐμὲ τὸ πλάσμα διέλαθεν, ὅλην ἀτενῶς
*I not for even me the pretense escaped wholly intently*
ὁρῶντα τὴν κόρην, ὅλην εἰκονίζοντα κατὰ νοῦν καὶ ὅλην
*watching the girl wholly picturing(-her) in mind and wholly*
ἀναπλαττόμενον· ἐμὲ δ' ἐξεπύρωσε τὸ κηρύκειον καὶ
*refashioning(-her) me and inflamed the herald's-staff and*
διψητικώτατον ἔθετο) "κἀμοὶ παράσχου τὸ ἔκπωμα." Ὁ δ'
*most-thirsty made to-me-too hand the cup he and*
ἀλλὰ (τί γὰρ ἄλλο ποιεῖν ἔμελλε;) παρετίθετο, καὶ νὴ τὸν
*but what for else to-do was-he-to set(-it)-beside(-me) and by —*
Ἔρωτα τὴν παρθένον ἐδόκουν πίνειν αὐτήν· τὰ χείλη ταύτης
*Eros the maiden I-seemed to-drink herself the lips her*
κατεφίλουν ἐρωτικῶς καὶ φιλῶν ὑπέκλεπτον τὰ φιλήματα·
*I-kissed amorously and kissing I-stole the kisses*
ὑπηρέτην εἶχον τὸ ἔκπωμα τῆς ἐμῆς φίλης Ὑσμίνης τὰ χείλη
*(as)-servant I-had the cup of-the my dear Hysmine the lips*
μετακομίζον μοι. Ἐξερρόφουν τοῦ πόματος καὶ νὴ τοὺς θεοὺς
*carrying-over to-me I-drained of-the drink and by the gods*
τοιοῦτον εἰς αὐτὴν κατέρρει μου τὴν ψυχήν, οἷον ἐν ὀνείροις
*such(-a-thing) into (the)-very flowed-down my the soul as in dreams*
ἀπὸ μαστῶν ἐξερρόφησα· καὶ περιεργότερον ὅλον ἔβλεπον τὸ
*from breasts I-drained and more-curiously whole I-looked-at the*

ποτήριον, μή τι τοῦ χείλους τῆς κόρης τῷ χείλει τοῦ
*cup lest some(-part) of-the lip of-the girl to-the lip of-the*
ποτηρίου κεκόλληται. Ἡ δ' ὁρῶσά μου καὶ τὸ σχῆμα καὶ
*cup has-been-glued she and seeing my both the gesture and*
τὸ βλέμμα καὶ τὴν μεθ' ἡδονῆς τοῦ πόματος ἀναρρόφησιν
*the look and the with pleasure of-the drink draining*
ἐρωτικῶς ἐμειδία καὶ Χάριτας ὅλας ὡς ἐν κατόπτροις
*amorously smiled and Graces whole as in mirrors*
ὑπεζωγράφησε τοῖς ὀφθαλμοῖς καὶ ὅλον τὸν Ἔρωτα.
*painted in-the eyes and whole — Eros*
Μετὰ γοῦν δὴ πολυτελεῖς τὰς τροφάς, αἷς μέχρι 12
*after at-any-rate indeed costly the foods in-which as-far-as*
χειρὸς καὶ στόματος ἐνετρύφων (ὀφθαλμοὺς γάρ μοι καὶ
*hand and mouth I-reveled eyes for my and*
ὅσον αἰσθητικώτερον ἡ παρθένος ἐρωτικῶς ἐξωνήσατο
*whatever more-sensitive the maiden amorously had-bought*
καὶ ταύτῃ δουλεύουσιν), ὁ Κρατισθένης καὶ πάλιν ἐπὶ
*and to-her they-are-slaves — Kratisthenes also again at*
τῷ λειτουργήματι καὶ μετὰ πατέρας καὶ μητέρας ἡμῶν
*the service and after fathers and mothers our*
ἐπὶ τὴν κόρην ἦκε κιρνῶν· ἡ δ' ἀλλὰ καὶ πάλιν μικρὸν
*to the girl came mixing she and but also again a-little*
ἐκροφήσασα πρὸς τὴν μητέρα φησὶ παρθενικῇ φωνῇ καὶ
*having-sipped to the mother says with-maidenly voice and*
οἵαν ἐκ ζεφύρου πίτυς ὑπεψιθύρισεν ἂν "μῆτερ, οὐκ ἐθέλω
*such-as from west-wind (a)-pine would-whisper — mother not I-wish*
πιεῖν." Ἡ δὲ Πανθία πρὸς τὸν Κρατισθένην φησὶ "τέκνον,
*to-drink — and Panthia to — Kratisthenes says child*
λαβοῦ τὸ ποτήριον," ὁ δ' ἐκ τῶν τῆς κόρης χειρῶν
*take the cup he and from the of-the girl hands*
ἀνελόμενος ταῖς ἐμαῖς παρατίθησιν· ἐγὼ δὲ πάλιν ἐδόκουν
*having-taken(-it) in-the my(-hands) sets(-it) I and again I-seemed*

ὅλην τὴν κόρην λαβεῖν καὶ ὅλην αὐτὴν ἐκροφᾶν· καὶ εἶχον
*whole the girl to-take and whole her to-drink-up and I-had*
τὸ ἔκπωμα φιλημάτων γέμον καὶ διακομίζον φιλήματα, καὶ
*the cup of-kisses full and carrying kisses and*
κατεφίλησα τὰ φιλήματα. Καὶ ἦν μοι νέκταρ τὸ πόμα,
*I-kissed the kisses and was to-me nectar the drink*
οἷον Ἀφροδίτη κιρνᾷ καὶ πίνουσιν Ἔρωτες, τὸ δ' ἔκπωμα
*such-as Aphrodite mixes and drink (the)-Loves the and cup*
κάτοπτρον ὅλην αὐτὴν τὴν κόρην σὺν αὐταῖς Χάρισι,
*(a)-mirror whole (the)-very the girl with (the)-very Graces*
σὺν αὐταῖς Ἡδοναῖς μεταβιβάζον μου περὶ τὴν ψυχήν.
*with (the)-very Pleasures transferring my into the soul*
13 Καὶ μετὰ πολυτελεῖς τὰς τροφὰς καὶ πόσεις καὶ τἆλλ'
*and after costly the foods and drinks and the-rest*
ὁπόσα κοσμοῦσι συμπόσια κατελύετο τὸ συμπόσιον· καὶ
*as-many-as adorn banquets was-ended the banquet and*
πατὴρ ἐμὸς Θεμιστεὺς καὶ μήτηρ Διάντεια Σωσθένην
*father my Themisteus and mother Dianteia Sosthenes*
καὶ Πανθίαν καὶ τὴν καλὴν Ὑσμίνην ἐπὶ τὸ δωμάτιον
*and Panthia and the fair Hysmine to the chamber*
ἄγουσιν, ὃ τούτοις ἀφώριστο· καὶ οὕτως ἀπ' ἀλλήλων
*lead which for-them had-been-set-apart and thus from one-another*
ᾠχόμεθα, μητρὸς ἐμῆς Διαντείας περιπλακείσης τῇ κόρῃ
*we-went mother my Dianteia having-embraced the girl*
καὶ φιλημάτων πληρωσάσης τὸ πρόσωπον. Ἐγὼ δ'
*and with-kisses having-filled the face I and*
ἀλλ' ἐφθόνουν τὴν μητέρα καὶ τὴν φύσιν νὴ τοὺς θεοὺς
*but envied the mother and the nature by the gods*
ἐζήτουν ἀλλάξασθαι· ἐπεὶ δὲ τοῦτο μὴ παρῆν, τὰ χείλη
*I-sought to-exchange since and this not was-possible the lips*
τῆς μητρὸς κατεφίλησα καταφιλῶν τεχνικῶς τῆς κόρης
*of-the mother I-kissed kissing artfully of-the girl*

τὸ πρόσωπον, καὶ εἶχον τὴν μητέρα καθυπουργοῦσαν
*the face and I-had the mother serving*
εἰς ἔρωτα καὶ μετακομίζουσάν μοι φιλήματα. Περὶ μὲν
*toward love and carrying-over to-me kisses about indeed*
οὖν δὴ πατρὸς ἐμοῦ καὶ μητρὸς ἀκριβῶς οὐκ οἶδα πῶς
*then indeed father my and mother exactly not I-know how*
περὶ τὴν παρθένον εἶχον καὶ πῶς αὐτῆς ἀπηλλάττοντο·
*toward the maiden they-were and how from-her parted*
ἐγὼ δὲ μόνοις ἀπεσπώμην ποσί· τὴν γάρ μοι ψυχὴν καὶ
*I and only was-torn-away with-feet the for my soul and*
τὸν ὀφθαλμὸν καὶ τὸν νοῦν ὡς παρακαταθήκην ἀφῆκα
*the eye and the mind as deposit I-left*
τῇ κόρῃ καὶ οἷον ἐχέγγυον.
*with-the girl and as-it-were pledge*
Καὶ περὶ τὴν κλίνην γενόμενος μυρίοις κατετυραννούμην 14
*and to the couch having-come by-countless I-was-tyrannized*
τοῖς λογισμοῖς, τὴν ψυχὴν ἐπολιορκούμην καὶ τῶν
*the thoughts (in)-the soul I-was-besieged and of-the*
ὀφθαλμῶν ἡρπαζόμην τὸν ὕπνον ὡς λάφυρον. Τὴν
*eyes I-was-robbed (of)-the sleep as spoil —*
Αὐλίκωμιν τῆς φιλοξενίας ἐθαύμαζον, ἣ καὶ μέχρι
*Aulikomis for-the hospitality I-admired which even to*
ποδῶν ἐκτείνει τὸ ξένιον· "παρ' ἡμῖν δ' οὐδὲ μέχρι
*(the)-feet extends the guest-gift among us but not-even to*
χειρῶν, οἷς βωμὸς Ξενίου Διός, οἷς ἑορτὴ τὰ
*(the)-hands to-whom (is-the)-altar of-Xenian Zeus to-whom (the)-feast the*
Διάσια. Ἵνα τί γὰρ μὴ κἀγὼ τοὺς πόδας πλύνω τῆς
*Diasia that what for not I-too the feet should-wash of-the*
κόρης, ὡς αὐτὴ τοὺς ἐμοὺς φιλοτίμως κατέπλυνεν, ἵνα
*girl as she the my(-feet) lavishly washed that*

κατ᾽ ἐκείνην φιλήσω καὶ θλίψω κἀγὼ καὶ καταμαλθακίσω
*like her I-may-kiss and press I-too and soften*
ταύτην ἐρωτικῶς ὅσα με τότε κατεμαλθάκισεν;᾽᾽
*her amorously as-much-as me then she-softened*
Οὕτω κατετυραννούμην ἐξ ἔρωτος, καὶ τὸ πολὺ τῆς
*thus I-was-tyrannized by love and the most of-the*
νυκτὸς λογισμοῖς παρεμετρούμην ἐρωτικοῖς· καὶ ὕπνον
*night in-thoughts I-measured-out amorous and (as)-sleep*
εἶχον καὶ ἡδονὴν τὸ περὶ τὴν κόρην ἀγρύπνως διασκοπεῖν.
*I-had and pleasure the about the girl sleeplessly to-contemplate*
Ἀλλ᾽ ὁ κόπος εἰς ὕπνον ἀνθεῖλκε τοὺς ὀφθαλμούς, καὶ
*but the weariness to sleep drew-back the eyes and*
ἦν ἀγὼν παρ᾽ ἐμοὶ καὶ κόπου καὶ ἔρωτος· οἱ δ᾽
*there-was (a)-contest in me both of-weariness and of-love the and*
ὀφθαλμοί μου μέσον ὡς πόλις πολιορκουμένη. Ὁ μὲν οὖν
*eyes my between as (a)-city besieged the indeed then*
βαρὺς κόπος τὸν ὕπνον ὡς ἐκ μηχανῆς τινος ἐπὶ τοὺς
*heavy weariness the sleep as from engine some at the*
ὀφθαλμοὺς ἠκροβόλιζεν, ὁ δ᾽ ἔρως ταῖς ἀλλεπαλλήλοις
*eyes hurled the and love with-the successive*
τῶν ἐννοιῶν ὅλους καταφραξάμενός μου τοὺς ὀφθαλμοὺς
*of-the thoughts wholly having-armored my the eyes*
πρὸς τοὺς ἀκροβολισμοὺς ἀπεμάχετο, καὶ κόπος μετὰ
*against the volleys fought-off and weariness after*
πολλὰς κονίστρας ἐκράτησε καὶ τὴν νίκην ὑπέκλεψεν, ὡς
*many bouts prevailed and the victory stole as*
ἐξ ὀπῆς τινος ὕπνον λεπτὸν τοῖς ὀφθαλμοῖς ἐμβαλών.
*through hole some sleep light into-the eyes having-cast*
15 Περὶ δὲ τρίτην φυλακὴν τῆς νυκτὸς πατὴρ ἐμὸς Θεμιστεὺς
*about and (the)-third watch of-the night father my Themisteus*
καὶ μήτηρ Διάντεια σὺν Σωσθένει καὶ Πανθίᾳ καὶ ὅσοι
*and mother Dianteia with Sosthenes and Panthia and as-many-as*

τούτοις ἐξ Αὐλικώμιδος εἵποντο περὶ τὸν βωμὸν σὺν
*them from Aulikomis followed to the altar with*
αὐτοῖς ἐγένοντο θύμασι, θύσοντες Σωτῆρι Διὶ καὶ τὰ
*(the)-very went offerings to-sacrifice to-Savior Zeus and the*
πρόσφορα λειτουργήσοντες· Ὑσμίνη δὲ μόνη περὶ τὸ
*fitting(-rites) to-perform Hysmine and alone in the*
δωμάτιον καταλέλειπται, ὅτι μηδὲ προσῆκον παρθένοις
*chamber has-been-left because not-even fitting for-maidens*
ἀνδρῶν ἐναντίον χωρεῖν. Ἐγὼ δ' (οὐδὲ γὰρ ἠγνόησα
*of-men in-the-presence to-go I and not for I-was-ignorant-of*
τὸ γινόμενον) περὶ τὴν κλίνην ἐγενόμην τῆς κόρης
*the(-thing) happening to the couch went of-the girl*
εὐθὺς καὶ κοιμωμένην αὐτὴν κατεφίλησα, ἡ δ' ἐκπλαγεῖσα
*at-once and sleeping her I-kissed she and startled*
τῷ παραδόξῳ τοῦ πράγματος τῆς στρωμνῆς ἀνεπήδησε
*by-the strangeness of-the thing from-the bed leapt-up*
"βαβαὶ τοῦ θαύματος" λέγουσα. Κἀγὼ συνέσχον εἰπὼν
*ah for-the wonder saying and-I held(-her) having-said*
"μὴ δέδιθι, δέσποινα· Ὑσμινίας ἐγώ·" καὶ λέγων πάλιν
*not fear mistress Hysminias I(-am) and saying(-it) again*
ἐφίλησα. Ἡ δ' "ἀλλὰ ποῦ μοι πατὴρ καὶ μήτηρ;" ἐζήτει
*I-kissed(-her) she and but where my father and mother sought*
μαθεῖν· ἐγὼ δ' "εἰς βωμὸν Ξενίου Διός, ὡς θύσωσιν"
*to-learn I and to (the)-altar of-Xenian Zeus that they-may-sacrifice*
εἴρηκα· "ἡμεῖς δ' οὐ θύσομεν Ἔρωτι; Θύσομεν πάντως
*said we and not shall-sacrifice to-Eros we-shall-sacrifice surely*
καὶ παρθενίαν αὐτὴν καὶ ὅλους αὐτούς." Καὶ περιπλακεὶς
*even maidenhood itself and wholly ourselves and having-embraced*
τὴν κόρην καὶ ταύτην καταφιλῶν ἀνεκεκλίμην ἐρωτικῶς.
*the girl and her kissing I-had-lain-down amorously*

16 Ἡ δ’ ἀντεφίλει μέν, ἀλλ’ ὡς παρθένος ἐξ αἰδοῦς
*she and kissed-back indeed but as (a)-maiden from shame*
ὑπέκλεπτε τὰ φιλήματα. Ἐγὼ δ’ ἐφίλουν ἐρωτικώτερον
*stole the kisses I and kissed more-amorously*
καὶ τοῖς ὀδοῦσι δάκνων τροφὴν ἐτρεφόμην ἐρωτικήν, οἵαν
*and with-the teeth biting (on)-food fed amorous such-as*
Ἀφροδίτη τοῖς ἐρασταῖς παρατίθεται. Ἡ δ’ ὑπεστέναζε
*Aphrodite to-the lovers sets-before she and sighed*
λεπτὸν ἀφροδίσιον, καὶ τὸ λεπτὸν ἐρωτικὸν ὑποστέναγμα
*thin aphrodisian(-sigh) and the thin amorous sigh*
ὅλην ἡδονὴν ἐς αὐτήν μοι μέσην ἐστάλαζε τὴν ψυχήν.
*whole pleasure into (the)-very my middle-of dripped the soul*
Ὅλην ἀνεπλεκόμην τὴν κόρην ὡς ἄμπελον, καὶ τοὺς
*whole I-entwined the girl as (a)-vine and the*
ὀμφακίζοντας τῶν βοτρύων ἐκθλίβων τῷ στόματι νέκταρ
*unripe(-ones) of-the clusters pressing with-the mouth nectar*
ἐξερρόφουν τοῖς χείλεσιν, οἷον ἀποθλίβουσιν ἔρωτες· καὶ
*I-drained with-the lips such-as press-out loves and*
τοῖς δακτύλοις ἀπέθλιβον καὶ τοῖς χείλεσιν ἔπινον, ἵνα
*with-the fingers I-pressed and with-the lips drank that*
τὸ πᾶν ὡς εἰς πίθον ψυχὴν τὴν ἐμὴν ἐκθλιβῇ μοι τοῦ
*the all as into (a)-jar soul the my be-pressed-out for-me of-the*
νέκταρος· οὕτως ἀκόρεστος ἐγὼ τρυγητής. Ἡ δ’ ἀντεφίλει
*nectar so insatiable I vintager she and kissed-back*
καὶ κατεφίλει με καὶ κατὰ κιττὸν ἀνεπλέκετο· καὶ οὕτως
*and kissed me and like ivy entwined and thus*
ἡμᾶς μυρίαι περιεχόρευον Χάριτες. Μετὰ γοῦν δὴ
*us countless danced-around Graces after at-any-rate indeed*
συχνὰς περιπλοκὰς καὶ φιλήματα καὶ τἆλλ’ ὁπόσα παίζειν
*many embraces and kisses and the-rest as-much-as to-play*
διδάσκουσιν Ἔρωτες, ὅλον ἐπεχείρουν καταρροφῆσαι τὸν
*teach (the)-Loves whole I-attempted to-drink-down the*

ἔρωτα καὶ μηκέτι παίζειν ἀλλὰ σπουδάζειν ἐρωτικῶς,
*love and no-longer to-play but to-be-earnest amorously*
ὡς μὴ κορῶναι κρώζοιεν ἐν ἀνεπιξέστῳ τῷ δώματι.
*so-that not crows might-caw in unfinished the house*
Ἡ δ' ἀλλὰ καὶ λίαν ἀντέτεινε καὶ χερσὶ καὶ ποσὶ καὶ 17
*she and but also exceedingly resisted both with-hands and feet and*
γλώσσῃ καὶ δάκρυσιν "Ὑσμινία" λέγουσα "φεῖσαι παρθενίας
*tongue and tears Hysminias saying spare maidenhood*
ἐμῆς· μὴ πρὸ τοῦ θέρους ἐκτίλῃς τοὺς στάχυας· μὴ τὸ ῥόδον
*my not before the summer pluck the ears not the rose*
τρυγήσῃς πρὸ τοῦ προκύψαι τῆς κάλυκος, μὴ τὴν σταφυλὴν
*gather before the to-peep-out from-the bud not the grape*
ὀμφακίζουσαν, μή πως ἀντὶ νέκταρος ὄξος ἐκθλίψῃς ἐξ
*unripe lest somehow instead-of nectar vinegar you-press-out from*
ὄμφακος. Σὺ θερίσεις τὸν ἄσταχυν, ἀλλ' ὅταν λευκανθῇ
*(the)-unripe-grape you will-reap the ear but when grows-white*
σοι τὸ λήιον· σὺ τὴν ῥοδωνιὰν ἀπανθίσεις, ἀλλ' ὅταν
*for-you the crop you the rose-bed will-pluck but when*
πεπανθὲν τὸ ῥόδον προκύψῃ τῆς κάλυκος· σὺ τρυγήσεις
*ripened the rose peeps-out from-the bud you will-gather*
τὴν σταφυλήν, ἀλλ' ὅταν τὸν βότρυν ἴδῃς ὑπερπερκάσαντα.
*the grape but when the cluster you-see darkened-to-ripeness*
Ἐγώ σοι φύλαξ ἀκοίμητος, ἀπαρεγγείρητος αἱμασιὰ καὶ
*I for-you (a)-guard sleepless unassailable (a)-wall and*
φραγμὸς ἀνεπίβατος. Τί σοι κέρδος ἀποσυλῆσαί μου τὸ
*(a)-fence unscalable what to-you gain to-strip my the*
σεμνόν; Παρθένος ἦκον εἰς Εὐρυκώμιδα· τί σοι κέρδος
*honor (a)-maiden I-came to Eurykomis what to-you gain*
ἀπάρθενον παλινοστῆσαι μ' εἰς Αὐλικώμιδα; Ἐρῶ σου,
*unmaidened to-return me to Aulikomis I-love you*
κήρυξ, οὐχ ὑποκρύπτω τὸν ἔρωτα· βάλλομαι τὴν ψυχήν,
*herald not I-hide the love I-am-struck (in)-the soul*

τὸ βέλος ὁμολογῶ· πυρπολοῦμαι τὰ σπλάγχνα καὶ τὸ
*the dart I-confess I-am-burned (in)-the heart and the*
πῦρ οὐκ ἀρνήσομαι· πλὴν οὐχὶ καὶ προδώσω τὰ κάλλιστα·
*fire not I-will-deny however not also I-will-betray the fairest(-things)*
τὴν παρθενίαν φυλάξω καί σοι ταύτην παραφυλάξομαι."
*the maidenhood I-will-guard and for-you it will-keep*

18 Ταῦτ' ἔλεγεν ἡ κόρη καὶ κατὰ ποταμοὺς κατεκένου τὸ
*these(-things) said the girl and in rivers poured-out the*
δάκρυον. Ἐγὼ δὲ πρὸς αὐτὴν "ἐπὶ σοὶ βίβλῳ κατεμυήθην
*tear I and to her upon you (as)-book I-was-initiated-into*
τὸν Ἔρωτα· διὰ σὲ δοῦλος ἐξ ἐλευθέρου γεγένημαι,
*— Eros because-of you slave from free I-have-become*
διὰ σὲ Φιλίου Διὸς ἀντηλλαξάμην Ἔρωτα τύραννον.
*because-of you for-Philian Zeus I-exchanged Eros (the)-tyrant*
Οὐδέν μοι πατρίς, οὐ πατήρ, οὐ μήτηρ, οὐ θησαυρός,
*nothing to-me fatherland not father not mother not treasure*
ὅν μοι πολὺν ἀπεθησαύρισεν ὁ πατήρ, οὐδ' ἄλλο τῶν
*which for-me great stored-up the father nor other of-the*
ὄντων οὐδέν· σὺν σοὶ θανοῦμαι." Καὶ περιπλακεὶς
*things-that-are anything with you I-shall-die and having-embraced*
αὐτὴν κατεφίλησα, καί μου τῶν ὀφθαλμῶν ἀπέρρει τὸ
*her I-kissed and from-my the eyes flowed the*
δάκρυον, καὶ περιπλακέντες τοῖς δάκρυσιν ἐβρεχόμεθα.
*tear and having-embraced with-the tears we-were-wet*

19 Καὶ μεθ' ἱκανὸν Ὑσμίνη μοι τοὺς ὀφθαλμοὺς κατεφίλει
*and after (a)-while Hysmine my the eyes kissed*
καὶ φιλοῦσά φησιν "Ὑσμινία, τοῦτό σοι λοίσθιον
*and kissing says Hysminias this to-you last*
φίλημα· ἐγὼ γὰρ σὺν πατρὶ καὶ μητρὶ μετὰ τρίτην
*kiss I for with father and mother after (the)-third*
ἡμέραν παλινοστήσω πρὸς Αὐλικώμιδα· σὺ δ' ἔσῃ πρὸς
*day will-return to Aulikomis you and will-be in*

Εὐρυκώμιδα πατρίδα τὴν σήν, καί σοι κόρην ἑτέραν ὁ
*Eurykomis fatherland the your and for-you (a)-girl other the*
πατὴρ εἰς γάμον ἀγάγηται· καὶ σὺ μὲν θύσεις τοὺς
*father to marriage may-lead and you indeed will-celebrate the*
γάμους, τῆς ἐμῆς ταύτης νῦν φίλης Ὑσμίνης λαθόμενος καὶ
*wedding of-the my this now dear Hysmine having-forgotten and*
φιλημάτων ἐρωτικῶν καὶ τῶν ἄλλων τούτων περιπλοκῶν,
*kisses amorous and the other these embraces*
ὧν πάντων εἰς κενὸν ὡς ἐν ὀνείροις κατετρυφήσαμεν·
*in-which all in vain as in dreams we-reveled*
ἐγὼ δ' οὐδ' εἰν Ἀΐδαο λήσομαι φιλίας τῆς σῆς,
*I but not-even in of-Hades will-forget (the)-love the your*
Ὑσμινία γλυκύτατε, καί σοι φυλάξω τὴν παρθενίαν
*Hysminias sweetest and for-you I-will-keep the maidenhood*
ἀπαρεγγείρητον· οὐδὲ γὰρ οὐδ' αὐτοῦ Διὸς φίλημα τοῖς
*unassailed not for even of-(the)-very Zeus (a)-kiss on-the*
σοῖς κατεπιθήσω φιλήμασιν, οὐ μὰ τὸν φοβερὸν Ἔρωτα,
*your I-will-place kisses no by the fearful Eros*
ὅς με ταῖς σαῖς ταύταις χερσὶν ὡς ὄρνιν παρέθετο."
*who me to-the your these hands as (a)-bird gave-over*
Ταῦτ' εἶπε καὶ περὶ τὸ στέρνον τοῦτο τοὐμὸν ὅλον 20
*these(-things) she-said and on the breast this my whole*
κατεπιθεῖσα τὸ πρόσωπον κατέβρεχέ με τοῖς δάκρυσιν.
*having-laid the face drenched me with-the tears*
Ἐγὼ δὲ πρὸς αὐτὴν "Ὑσμίνη παρθένε, μέλημα ἐμόν,
*I and to her Hysmine maiden darling my*
φῶς ἐμῶν ὀφθαλμῶν, πηγή μοι στάζουσα μέλιτος, ὄμβρε
*light of-my eyes spring to-me dripping honey shower*
χαρίτων· σὺ μὲν φιλοῦσα λοίσθιον λέγεις τὸ φίλημα· ἐγὼ
*of-graces you indeed kissing last call the kiss I*
δ' ὁ σὸς ἐραστὴς καὶ δοῦλος ἐξ ἔρωτος σὺν σοὶ θανοῦμαι
*but the your lover and slave from love with you shall-die*

καί σοι τὴν παρθενίαν ἀντιφυλάξομαι· οὐκ ἀποσυλήσει
*and for-you the maidenhood will-guard-in-turn not will-strip*
ταύτην, οὐκ ἐξουσία πατρός, οὐ μητρὸς πειθώ, οὐδ'
*it not (the)-authority of-father not of-mother persuasion not-even*
εἰ τὴν Ἀφροδίτην ἀγάγωνται, οὐ μὰ Δία, πατέρα πάντων
*if — Aphrodite they-lead(-to-me) no by Zeus father of-all*
θεῶν, οὗ κήρυξ ἦκον εἰς Αὐλικώμιδα, πατρίδα τὴν
*gods whose herald I-came to Aulikomis fatherland the*
σήν, καὶ δοῦλος τῶν σῶν χαρίτων εἰς τὴν ἐμὴν ταύτην
*your and slave of-the your graces to the my this*
Εὐρύκωμιν ἀνθυπέστρεψα." Καὶ δὴ τῆς ἡμέρας διαγελώσης
*Eurykomis returned and indeed the day beginning-to-smile*
καταφιλήσας τὴν κόρην ἐξῆλθον τοῦ δωματίου καὶ περὶ τὴν
*having-kissed the girl I-went-out of-the chamber and to the*
ἐμὴν ἐγενόμην κλίνην ὡς ἐν ὑποπτέρῳ ποδὶ καὶ τοῖς ὕπνοις
*my went couch as on winged foot and with-the sleep*
ἐσπεισάμην εὐθύς, ὡς εἰ περὶ τὴν κλίνην εὗρον αὐτούς.
*made-peace at-once as if on the couch I-found them*

## VI · THE EAGLE AT THE ALTAR

*At breakfast Sosthenes invites Themisteus' house to Aulikomis for Hysmine's wedding to a fellow citizen; she leaves the table weeping, and that night the lovers swear to flee together. At the altar of Zeus an eagle snatches the bridal offering, and Panthia's lament fills the temple. Kratisthenes reads the omen as Zeus bidding Hysminias carry her off; Hysmine and Themisteus call it Zeus' kindness, and Panthia barely agrees to keep vigil again. Kratisthenes readies a ship for Syria and will sail with them. Asleep, Hysminias sees Eros place Hysmine's hand in his.*

Ὁ μὲν οὖν ἐμὸς πατὴρ Θεμιστεὺς σὺν Σωσθένει καὶ 1
*the indeed then my father Themisteus with Sosthenes and*
μητράσιν ἡμῶν ἐπανῆκον ἐκ τοῦ βωμοῦ Ξενίῳ Διὶ τὰ
*mothers our returned from the altar to-Xenian Zeus the*
πρόσφορα θύσαντες· καί μοι Διάντεια μήτηρ περὶ τὴν
*fitting(-rites) having-sacrificed and my Dianteia mother to the*
κλίνην γενομένη τὴν ἐμὴν ἐξυπνίζει με λέγουσα "τέκνον
*couch having-come the my wakes me saying child*
Ὑσμινία, καιρὸς ἀρίστου, σὺ δ' οὐκέτι τὸν ὕπνον ἀπώσῃ
*Hysminias (it-is)-time of-breakfast you and no-longer the sleep push-away*
τῶν ὀφθαλμῶν; ἀνάστηθι καὶ περὶ τὸ δεῖπνον γενώμεθα·
*from-the eyes rise and to the meal let-us-go*
ὁ σὸς γὰρ πατὴρ ἀνακέκλιται σὺν Σωσθένει καὶ τοῖς
*the your for father has-reclined with Sosthenes and those*
ὅσους τὸ δεῖπνον καλεῖ." Σὺν αὐτῇ γοῦν μητρὶ
*whom the meal calls with (my)-very at-any-rate mother*
περὶ τὴν τράπεζαν γεγονὼς συνήθως ἀνακεκλίμεθα· καὶ
*to the table having-come as-usual we-reclined and*
πάλιν Ὑσμίνη μοι κατὰ μέτωπον ὅλον τοῖς ὀφθαλμοῖς
*again Hysmine me in front-of whole with-the eyes*
ἀποστάζουσά μοι τὸν ἔρωτα. Ἐγὼ γοῦν ἀτενῶς τὴν
*dripping for-me the love I at-any-rate intently the*

κόρην ἰδὼν καὶ περὶ τὴν τράπεζαν κεκυφὼς αὐτὴν
*girl having-looked-at and over the table bending her*
προσεκύνησα, καθυποκλέπτων ἐρωτικῶς τὸ προσκύνημα·
*bowed-to stealing amorously the obeisance*
ἡ δ' ἀνθυπέκλεψεν, ὡς εἰκός, τὸν τράχηλον παρθενικῶς
*she and stole-in-turn as (is)-likely the neck maidenly*
ὑποκλίνασα. Τροφαῖς πολυτελέσιν ἡ τράπεζα συνήθως
*having-bowed with-foods costly the table as-usual*
κατακεκόσμηται, καὶ Κρατισθένης κιρνᾷ. Σωσθένης
*has-been-adorned and Kratisthenes mixes Sosthenes*
προπίνει, Θεμιστεὺς μετ' αὐτόν, καὶ συνήθως ἡμεῖς.
*drinks-first Themisteus after him and as-usual we*
2 Καὶ ὁ Σωσθένης φησὶ "σὺ μὲν ἡμᾶς φιλοφρονούμενος,
*and — Sosthenes says you indeed us welcoming*
Θεμιστεῦ, Ξενίῳ Διὶ τὴν φιλοφροσύνην, οὐχ ἡμῖν
*Themisteus to-Xenian Zeus the welcome not to-us*
ἀφωσίωσας· καί σε τῆς οὕτω λαμπρᾶς τραπέζης καὶ τῆς
*you-dedicated and you for-the so brilliant table and the*
ἄλλης πολυτελοῦς δεξιώσεως Ζεὺς πατὴρ ἀντιδεξιώσαιτο,
*other costly reception Zeus father may-receive-in-return*
φιλότιμόν σοι δεῖπνον ἑτοιμασάμενος ἐν Ἠλυσίῳ πεδίῳ
*lavish for-you (a)-dinner having-prepared in (the)-Elysian plain*
καὶ μακάρων νήσῳ, συνανακεκλιμένῳ τοῖς ἥρωσιν. Ἐγὼ
*and of-(the)-blessed isle reclining-with the heroes I*
δέ σε καταδυσωπῶ σὺν ἡμῖν γενέσθαι πρὸς τὴν ἡμετέραν
*and you entreat with us to-go to the our*
Αὐλίκωμιν, σὺν αὐτῇ Διαντείᾳ καὶ τῷ καλῷ τούτῳ
*Aulikomis with (the)-very Dianteia and the fine this*
κήρυκι" (τῇ χειρί με παραδεικνύς)· "Ὑσμίνης γὰρ ταύτης
*herald with-the hand me pointing-out of-Hysmine for this*
τῆς ἐμῆς φίλης παιδὸς θῦσαι τοὺς γάμους βουλόμεθα.
*the my dear child to-celebrate the wedding we-wish*

Καιρὸς δ’ ἡμῖν τῆς τῶν γάμων τελετῆς ἀφωσίωται
*(the)-season and for-us of-the of-the wedding rite has-been-appointed*
τὰ Διάσια, ἃ νῦν θύοντες ἐπαναζεύξομεν εἰς Αὐλίκωμιν,
*the Diasia which now celebrating we-shall-return to Aulikomis*
εἰ δοκεῖ Σωτῆρι Διί. Παῖς δ’, ᾧ τὰ τῆς ἐμῆς
*if it-seems-good to-Savior Zeus (the)-boy and to-whom the of-the my*
ταύτης Ὑσμίνης λέκτρα προσαφωσίωται, συμπατριώτης
*this Hysmine bed has-been-pledged (a)-fellow-countryman*
ἐξ Αὐλικώμιδος ὑπερχειλῆ τὸν τῆς εὐδαιμονίας τριπλοῦν
*from Aulikomis overflowing the of-the happiness threefold*
κρατῆρα κεκερακώς· τὰς μὲν δὴ ψυχικὰς ἀρετὰς
*mixing-bowl having-mixed the indeed truly of-soul virtues*
ἀπαράμιλλος, τὰ δὲ περὶ τὸ σῶμα πρὸς τὴν ψυχὴν
*unrivaled the(-things) and of the body with the soul*
ἐρίζει καὶ φιλονεικεῖ μὴ δεύτερα φαίνεσθαι· τὰ δ’
*vie and contend not second to-appear the(-things) and*
ἐκτὸς τῇ ψυχῇ καὶ τῷ σώματι συγκέχυται καὶ οἷον
*outside with-the soul and the body are-blended and as-it-were*
συγκέκραται. Τοιοῦτον ἐγὼ τὸν γάμον τῇ φίλῃ μου ταύτῃ
*mixed-together such I the marriage to-the dear my this*
παιδὶ καὶ Ζεὺς πρότερον ἀφωσίωσεν· εἰ δέ μοι καὶ σὺ
*child and Zeus before appointed if and with-me also you*
συνεκπλεύσεις εἰς Αὐλικώμιδα σὺν Ὑσμινίᾳ καὶ τῇ τούτου
*will-sail to Aulikomis with Hysminias and the his*
μητρί, εὐτυχεστέρους τοὺς γάμους ἡγήσομαι.” Ὁ δ’ ἐμὸς
*mother more-fortunate the wedding I-shall-deem the and my*
πατὴρ Θεμιστεὺς “νῦν Διὸς” φησὶ “τράπεζα καὶ Διασίων
*father Themisteus now of-Zeus says (the)-table and of-(the)-Diasia*
καιρός, καὶ τῷ καιρῷ καὶ τῇ τραπέζῃ τὰ πρόσφορα
*(the)-season and to-the season and the table the(-things) fitting*
θύσωμεν· τὰ δ’ ἄλλα Διὸς ἐν γούνασι κεῖται.”
*let-us-offer the(-things) and other of-Zeus on knees lie*

3 Ταῦθ' ὁ Σωσθένης, ταῦθ' ὁ πατήρ· ἐγὼ δὲ νὴ τοὺς
*these(-things) — Sosthenes these(-things) the father I and by the*
θεοὺς ὅλῳ τῷ νῷ τὴν αἴσθησιν συναφήρημαι, καὶ ἤμην
*gods with-whole the mind the sense have-been-robbed-of and was*
ὡς ἀνδριὰς ἐπὶ τῆς τραπέζης καθήμενος, τοὺς ὀφθαλμοὺς
*as (a)-statue at the table sitting the eyes*
ἔχων ἀτενῶς ἐπὶ τὸ τῆς κόρης βλέποντας πρόσωπον· ἡ
*having intently on the of-the girl looking face the*
δὲ παρθένος δακρύων πληρωθεῖσα τοὺς ὀφθαλμοὺς καὶ
*and maiden with-tears having-been-filled (in)-the eyes and*
παρειὰν συλλαβοῦσα τὴν δεξιὰν συνέσπασε τὰς ὀφρῦς
*(her)-cheek having-clasped (with)-the right drew-together the brows*
καὶ πικρὸν ὑπεστέναξε καὶ πρὸς τὴν Πανθίαν φησὶ "μῆτερ,
*and bitterly sighed and to — Panthia says mother*
ἀλγέω τὴν κεφαλήν". Ἡ δὲ πρὸς αὐτὴν "γενοῦ περὶ τὸ
*I-ache (in)-the head she and to her go to the*
δωμάτιον." Εὐθὺς οὖν ἐξανέστη τῆς τραπέζης καὶ περὶ
*chamber at-once then she-rose from-the table and to*
τὸ δωμάτιον γέγονεν. Ἡ γοῦν μοι μήτηρ πρὸς τὴν
*the chamber went the at-any-rate my mother to —*
Πανθίαν φησὶ "τίς τὴν καλὴν ταύτην κόρην ἐβάσκηνεν;"
*Panthia says who the fair this girl has-bewitched*
ἡ δ' "ἡ γλῶσσα" φησὶ "τοῦ πατρός, ὅτι γάμων
*she and the tongue says of-the father because (a)-wedding*
ἐμνήσθη τῆς θυγατρός, οὓς μέχρι καὶ εἰς δεῦρο μὴ μαθεῖν
*he-mentioned of-the daughter which until even to now not to-learn*
τὴν κόρην ἐφυλαττόμεθα· παρθένος γάρ ἐστι καὶ σεμνή."
*the girl we-took-care (a)-maiden for she-is and modest*

4 Τὰ δ' ἐφεξῆς τῆς τραπέζης ἀναισθήτως εἶχον· ὡς
*the(-things) and next of-the table senselessly I-was as*
γὰρ ἔκ τινος ἀστραπηβόλου σκηπτοῦ τῶν τοῦ Σωσθένους
*for from some lightning-hurling bolt of-the — of-Sosthenes*

ῥημάτων ὅλην ἀπερράγην τὴν κεφαλήν. Εἰ μὲν οὖν
*words whole I-was-broken-off (in)-the head whether indeed then*
ἔφαγον, νὴ τὴν φοβερὰν τοῦ Σωσθένους οὐκ οἶδα φωνήν.
*I-ate by the fearful — of-Sosthenes not I-know voice*
Ὁ δὲ καλὸς Σωσθένης ὁ παρ᾽ ἡμῖν τὸν γάμον
*the and fine Sosthenes the(-one) among us the wedding*
κηρύσσων τῆς θυγατρὸς καὶ πάλιν φησὶν "ἱκανῶς τῆς
*proclaiming of-the daughter also again says enough of-the*
τραπέζης ἡμῖν, Θεμιστεῦ, ἅλις τοῦ πότου καὶ τῶν περὶ
*table for-us Themisteus enough of-the drinking and of-the on*
τὴν τράπεζαν ποικίλων τροφῶν· εἰ δὲ βούλει, καὶ περὶ
*the table varied foods if and you-wish also to*
τὸν ὕπνον γενώμεθα· ἡ γὰρ δὴ νὺξ καὶ πάλιν ἡμᾶς
*the sleep let-us-go the for indeed night also again us*
συγκαλεῖται περὶ τὸν βωμὸν καὶ τὰ θύματα."
*summons to the altar and the offerings*
Οὕτως οὖν κατελύετο τὸ συμπόσιον, κἀγὼ τῇ συνήθει μοι 5
*thus then was-ended the banquet and-I on-the usual my*
κλίνῃ συνήθως ἀνακλιθεὶς ὅλους εὐθὺς ἡρπαζόμην παρὰ τῶν
*couch as-usual having-lain-down wholly at-once was-seized by the*
ὕπνων τοὺς ὀφθαλμοὺς καὶ ἤμην ὑπνῶν, τῷ παραδόξῳ
*sleep (in)-the eyes and I-was sleeping by-the strangeness*
τὴν ψυχὴν καταθορυβηθεὶς τοῦ ἀκούσματος καὶ ὅλον τῇ
*(in)-the soul alarmed of-the news and whole in-the*
θλίψει τὸν νοῦν καταβαπτισθείς. Πάλιν οὖν ὁ συνήθης
*affliction (in)-the mind drowned again then the usual*
τῶν θυμάτων καιρός, καὶ πάλιν Θεμιστεύς μοι πατὴρ καὶ
*of-the offerings time and again Themisteus my father and*
μήτηρ Διάντεια σὺν Σωσθένει καὶ Πανθίᾳ περὶ τὸν βωμὸν
*mother Dianteia with Sosthenes and Panthia at the altar*
διανυκτερεύουσι· καὶ πάλιν ἐγὼ κλίνης ἀναστὰς τῆς ἐμῆς
*pass-the-night and again I couch having-risen-from the my*

περὶ τὴν κλίνην ἥκω τῆς κόρης, ἣν ὁ καλὸς Σωσθένης
*to the couch come of-the girl whom the fine Sosthenes*
εἰς τὴν Αὐλίκωμιν ἐνυμφεύσατο, καὶ πάλιν τὴν κόρην φιλῶ.
*in — Aulikomis had-betrothed and again the girl I-kiss*
Ἡ δ' ὅλην τὴν στρωμνὴν καταβρέχει τοῖς δάκρυσιν·
*she and whole the bed drenches with-the tears*
ἐγὼ δὲ πάλιν φιλῶ λέγων "Ὑσμίνη, τί πάσχεις;" ἡ
*I and again kiss saying Hysmine what do-you-suffer she*
δ' "ἡ γλῶσσα" φησὶ "τοῦ πατρός μ' ἀπόλλυσιν."
*and the tongue says of-the father me destroys*
6 Ἐγὼ δὲ πρὸς αὐτὴν "σὺ τὰ περὶ τὸν ἐμὸν ἐνωπτρίζου
*I and to her you the(-things) about the my imagined*
γάμον καὶ κόρην ἑτέραν κατεμνηστεύου μοι· καὶ ἀμνηστίας
*marriage and (a)-girl other betrothed to-me and of-forgetfulness*
ἐκρινόμην σοι τῶν πολλῶν τούτων ἐρωτικῶν χαρίτων,
*I-was-accused by-you of-the many these amorous graces*
ὧν ὑπερχειλές μοι κεκέρακας τὸ ποτήριον· ἐγὼ δ' ἀλλ',
*of-which brimming for-me you-have-mixed the cup I and but*
ὦ γλυκυτάτη παρθένε, γλυκυτέρα καὶ μέλιτος, θεούς σοι
*O sweetest maiden sweeter even than-honey (the)-gods to-you*
διεμαρτυράμην αὐτοὺς μὴ καταψεύσασθαί σου τὸν ἔρωτα,
*I-called-to-witness themselves not to-play-false your the love*
μὴ καταπροέσθαι σου τὴν φιλίαν, μηδ' ὁτιοῦν τῶν ὄντων
*not to-throw-away your the love nor anything of-the things-that-are*
ἀγάπης τῆς σῆς ἀνταλλάξασθαι· ἀλλὰ νῦν σὸς πατήρ, ὁ
*for-love the your to-exchange but now your father the*
τὰ πάντα σεμνὸς Σωσθένης, εἰς Αὐλίκωμιν ἐπήξατό
*in-the(-things) all august Sosthenes in Aulikomis has-built*
σοι παστάδα, ἔδνα σοι πολλὰ προσαφώρισε, καὶ
*for-you (a)-bridal-chamber gifts for-you many has-set-aside and*
νυμφίον ἡτοίμασε, καί σε νυμφαγωγήσει λαμπρῶς, καὶ
*(a)-bridegroom has-prepared and you will-lead-as-bride brilliantly and*

φιλοτίμως νυμφοστολήσει. Ἐγὼ δ' ὁ σὸς ἐραστὴς (οὐδὲ
*lavishly will-array-as-bride I and the your lover not*
γὰρ αἰσχύνομαί σου τὸν ἔρωτα) παρθενικῷ στεφάνῳ τὴν
*for I-am-ashamed-of your the love with-(a)-virgin's crown the*
κεφαλὴν ἀναδήσομαι καὶ παρὰ Περσεφόνῃ καὶ τοῖς ἐν Ἅδου
*head will-bind and by Persephone and those in Hades*
φιλοτίμως καὶ πολυτελῶς νυμφαγωγηθήσομαι λαμπράν
*lavishly and sumptuously will-be-led-as-bridegroom (a)-brilliant*
μοι παστάδα πηξαμένοις παρθενικήν· σὺ δ' ἀφιλίας
*for-me bridal-chamber having-built virgin you and of-faithlessness*
ἐρωτικῆς κριθήσῃ, χάρισιν ἐρωτικαῖς κατηγορουμένη καὶ
*amorous will-be-judged by-graces amorous being-accused and*
στίγμασι τούτοις, ἃ πάντ' ἐξ ἐμῶν καὶ χειρῶν καὶ
*marks these which all from my both hands and*
χειλέων καθ' ὅλου φέρεις τοῦ σώματος. Καὶ σὲ μὲν
*lips over whole you-bear the body and you indeed*
Πλοῦτος κατακοσμήσει πολυτελῶς, ἐμὲ δὲ Πλούτων
*Wealth will-adorn sumptuously me and Pluto*
νυμφαγωγήσει περιφανῶς. Ἀλλ' ὦ φιλημάτων ἐκείνων,
*will-lead-as-bridegroom splendidly but O kisses those*
ὧν εἰς κενὸν ἐτρυφήσαμεν· ὦ θλίψεων σαρκῶν, ἃς
*which in vain we-enjoyed O pressings of-flesh which*
μάτην κατωδυνήθημεν· ὦ συμπλοκῶν καὶ περιπλοκῶν,
*in-vain we-suffered O entwinings and embraces*
αἷς ἀνωφελῶς ἐνεπλάκημεν· ὦ κακῶς ἰδόντες ὀφθαλμοὶ
*in-which uselessly we-were-entwined O ill having-seen eyes*
καὶ παρὰ τοῦτο θρηνοῦντες ἀτέλεστα. Αὕτη μοι χεὶρ
*and for this lamenting endlessly this my hand*
ὑπηρέτησέ μοι πρὸς ἔρωτα, καὶ νῦν ὑπηρετήσει πρὸς
*served me for love and now will-serve for*
φάσγανον, ὃ κατ' ἐμῆς ταύτης ὠθήσω ψυχῆς."
*(a)-sword which against my this I-shall-thrust soul*

7 Ταῦτ’ εἶπον, καὶ τὴν κόρην περιπλακεὶς κατεφίλησα
*these(-things) I-said and the girl having-embraced kissed*
“ὄντως σοι τοῦτο” λέγων “λοίσθιον φίλημα·
*truly to-you this saying last kiss*

τέλος δέχει δὴ τῶν ἐμῶν προσφθεγμάτων.
*(the)-end you-receive indeed of-the my greetings*

Καὶ σὺ μὲν εἰς Αὐλικώμιδα πατρίδα τὴν σὴν ἐπὶ
*and you indeed to Aulikomis fatherland the your to*
λαμπρῷ νυμφίῳ παλινοστήσεις νύμφη λαμπρά, καί σοι
*(a)-brilliant bridegroom will-return (a)-bride brilliant and for-you*
τὸν ὑμέναιον βασιλικῶς κατεπάσονται, ἐγὼ δ’ εἰς Ἅδου
*the wedding-song royally they-will-sing I and to Hades*
φοιτήσω καὶ ὅλον χορὸν Ἐριννύων συναγαγὼν ὅλον
*shall-go and (a)-whole chorus of-Furies having-gathered whole*
κατατραγῳδήσω μου τὸ δυστύχημα· καὶ σοὶ μὲν ὁ
*shall-lament my the misfortune and for-you indeed the*
καλὸς Σωσθένης ἐπιθαλάμιον ᾄσει, ἐμοὶ δ’ ὁ πατὴρ
*fine Sosthenes (a)-bridal-song will-sing for-me and the father*
ἐπιτύμβιον· ὁ μὲν σὸς πατὴρ ἐπὶ σοί, γλυκεῖα νύμφη,
*(a)-dirge the indeed your father over you sweet bride*
γλυκὺ μελῳδήσει καὶ τὸ μελῴδημα, ὁ δ’ ἐμὸς ἐλεεινὸς
*sweet will-sing also the melody the and my pitiable*
Θεμιστεὺς ἐπὶ νεκρῷ παιδὶ γοερὸν ἀνακρούσεται·
*Themisteus over (a)-dead son (a)-mournful(-song) will-strike-up*
ὁ μὲν ᾆσμα χορεύσει γαμήλιον, ὁ δ’ ἐμὸς ἀθλιώτατος
*the(-one) indeed (a)-song will-dance nuptial the and my most-wretched*
πάντων πατὴρ ἐλεεινὸν μονῳδήσει καὶ πικρὸν ἐξιτήριον.”
*of-all father pitiable will-sing-alone and bitter funeral-song*

Ταῦτ᾽ ἔλεγον καὶ τὴν κόρην ὅλην τοῖς δάκρυσιν ἔβρεχον· 8
*these(-things) I-said and the girl wholly with-the tears drenched*
ἡ δ᾽ “ὤλεσάς με” φησὶν “Ὑσμινία γλυκύτατε. Σύ μοι
*she and you-have-destroyed me says Hysminias sweetest you to-me*
πατρὶς καὶ πατὴρ καὶ μήτηρ καὶ παστὰς καὶ νυμφίος
*fatherland and father and mother and bridal-chamber and bridegroom*
καὶ δεσπότης ἐξ ἔρωτος· ἀλλ᾽ (ὦ τήνδε μου γλῶσσαν
*and master from love but O this my tongue*
ἐπέχει τὸ δάκρυον) μή σοι στόμα πατρὸς τὰς περὶ τὸ
*holds-back the tear let-not for-you (the)-mouth of-father the about the*
στόμα τοῦτο τοὐμὸν ὅλας ἐρωτικὰς καταδαίσηται χάριτας
*mouth this my whole amorous devour graces*
ἃς εἰς κενὸν ἡμεῖς ἐρωτικῶς ἀντεπαίζομεν· μή σοι τὸ
*which in vain we amorously played-together let-not for-you the*
μέλι τρυγήσῃ τοῦ στόματος, ὃ μάτην ἡ φιλεργὸς ἐγώ
*honey gather of-the mouth which in-vain the industrious I*
σοι κατεπόνησα μέλιττα· μηδ᾽ οὕτω παμφάγον ἔσται σοι
*for-you labored(-over) bee nor so all-devouring will-be for-you*
στόμα πατρὸς ἐμοῦ, ὡς τοσαῦτα καταφαγεῖν ἀφροδίσια,
*(the)-mouth of-father my as so-many to-devour love-delights*
ὅσα μάτην ἡμεῖς κατεπαίζομεν ἢ μᾶλλον ἐν ἡμῖν
*as-many-as in-vain we played or rather in us*
κατέπαιζον Ἔρωτες. Ὑσμινία, σὺ τὴν ἐμὴν ταύτην Ὑσμίνην
*played (the)-Loves Hysminias you the my this Hysmine*
ἐρωτικῶς κατεκήπευσας· σύ μοι καὶ φραγμὸν περίθου τῷ
*amorously cultivated-as-garden you for-me also (a)-fence put-around the*
κήπῳ, μὴ χεὶρ ὁδοιποροῦντος τρυγήσῃ με. Θανεῖν ἐθέλεις,
*garden lest (the)-hand of-(a)-passer-by gather me to-die you-wish*
ἀλλὰ συναποτίθημι τῷ λόγῳ καὶ τὴν ψυχήν. Συνθανοῦμαί
*but I-lay-down-with(-you) with-the word also the soul I-shall-die-with*
σοι, ὥσπερ καὶ ζῶντι συζήσομαι. Καὶ δὴ συμπλέκομαί
*you just-as also living I-shall-live-with(-you) and indeed I-entwine*

σοι καὶ περιπλέκομαι καὶ τὸ ζώσιμον ὅλον κοινοῦμαί
*with-you and embrace(-you) and the life whole I-share*
σοι, ὥσπερ καὶ τὸ θανάσιμον ζητῶ συμμερίσασθαι."
*with-you just-as also the death I-seek to-share*
Καὶ λέγουσα συνεπλέκετο καὶ συμπλεκομένη μοι πηγὰς
*and saying(-this) she-entwined(-me) and entwining with-me springs*
δακρύων εἶχε τοὺς ὀφθαλμοὺς καὶ ὅλον με κατεπέκλυζεν.
*of-tears had (in)-the eyes and whole me flooded*
9 Ἐγὼ δ' "εἰ βούλει" φημὶ "καὶ τῆς ἐμῆς Εὐρυκώμιδος καὶ
*I and if you-wish I-say both from-the my Eurykomis and*
τῆς σῆς Αὐλικώμιδος ἐφ' ἑτέραν μετάρωμεν, καὶ πατρίδας
*the your Aulikomis to another let-us-depart both fatherlands*
καὶ τεκόντας καὶ θησαυροὺς καὶ τἆλλα τὰ κατ' οἴκους
*and parents and treasures and the-rest the(-things) in homes*
λαμπρὰ φιλίας ἐρωτικῆς καὶ τοῦ συνοικεῖν ἀλλήλοις
*splendid for-friendship amorous and the to-live-together with-one-another*
ἀνταλλαξώμεθα. Ἔρως δ' ἡμῖν ἔσται καὶ πατρὶς καὶ τοκεῖς
*let-us-exchange Eros and for-us will-be both fatherland and parents*
καὶ τὰ κατ' οἴκους πολυτελῆ καὶ τροφὴ καὶ πόσις
*and the(-things) in homes costly and food and drink*
καὶ ἔνδυμα." Ἡ δ' ὡς εἰς παστάδα μετακεκλημένη
*and clothing she and as to (a)-bridal-chamber summoned*
βασιλικήν, ὑπολαβοῦσά φησιν "ἔχεις με τὴν σὴν Ὑσμίνην
*royal answering says you-have me the your Hysmine*
καὶ μετακόμιζε· σὺν σοὶ θανοῦμαι·" Καὶ τῆς κλίνης
*and carry(-me)-off with you I-shall-die and from-the couch*
ἀναστᾶσα συνείπετο, ἢ μᾶλλον ἐφείλκετό με προτρέχουσα,
*having-risen followed or rather drew me running-ahead*
ἐγὼ δ' "ἀλλ' οὐκέτι" φημὶ "διακεκόσμηται τὰ τοῦ
*I and but not-yet say has-been-arranged the(-things) of-the*
πράγματος," ἡ δ' ἀλλ' οὐκ ἤθελεν ἀποσπασθῆναί μου τῶν
*affair she and but not wished to-be-torn from-my the*

χειρῶν. Μόλις οὖν ὅλους θεοὺς αὐτοὺς διαμαρτυράμενος
*hands barely then all (the)-gods themselves having-called-to-witness*
τῶν τῆς Ὑσμίνης ἀπεσπάσθην χειρῶν καὶ περὶ τὴν ἐμὴν
*from-the — of-Hysmine I-was-torn hands and to the my*
ἐγενόμην κλίνην, τὸ πρᾶγμα διασκοπῶν. Ἐπεὶ δ' ὑπνοῦν
*went couch the affair considering since and to-sleep*
οὐ συνεχωρούμην τοῖς πράγμασιν, ἀναστὰς τῆς κλίνης
*not I-was-allowed by-the affairs having-risen from-the couch*
καὶ λαμπρῶς διακοσμησάμενος εἰς ἱερὸν ἀφικόμην Ξενίου
*and brilliantly having-dressed to (the)-temple I-came of-Xenian*
Διός, ὅπου καὶ Θεμιστεύς μοι πατὴρ καὶ μήτηρ Διάντεια
*Zeus where also Themisteus my father and mother Dianteia*
καὶ Σωσθένης καὶ Πανθία προσανεῖχον τοῖς θύμασι.
*and Sosthenes and Panthia were-attending to-the offerings*
Μετὰ γοῦν πολλὰ τῶν θυμάτων, ἃ καὶ πατὴρ ἐμὸς 10
*after at-any-rate many of-the offerings which both father my*
καὶ Σωσθένης ἐσπείσαντο, Σωσθένης καὶ Πανθία ὅλας εἰς
*and Sosthenes poured Sosthenes and Panthia wholly to*
οὐρανὸν τὰς χεῖρας ἀράμενοι καὶ θερμὰ τῶν ὀφθαλμῶν
*heaven the hands having-raised and warm from-the eyes*
καταστάξαντες δάκρυα "Ζεῦ πάτερ" ἔλεγον, "ἐπιθαλάμιόν
*having-shed tears Zeus father said bridal*
σοι τοῦτο τὸ θῦμα θύομεν ὑπὲρ ἡμετέρας Ὑσμίνης παιδός,
*to-you this the offering we-sacrifice for our Hysmine child*
ἧς ἤδη τοὺς γάμους τελέσαι βουλόμεθα." Ταῦτ' ἔλεγον
*whose now the wedding to-celebrate we-wish these(-things) they-said*
καὶ θύματα τῇ πυρᾷ κατετίθεντο· μέγας δ' ἀετὸς ἐκ
*and offerings on-the pyre laid (a)-great and eagle from*
νεφῶν ἀνακλάγξας καὶ μετὰ ῥοίζου καταχυθεὶς ἥρπασέ τε
*(the)-clouds having-screamed and with (a)-rush having-swooped snatched both*
τὸ θῦμα καὶ τοὺς περὶ τὸν βωμὸν συνετάραξεν. Ὁ μὲν οὖν
*the offering and those about the altar threw-into-confusion — indeed then*

δὴ Σωσθένης ὅλος ἦν ἐκπεπληγμένος ἑστώς· ἡ δέ γε
*indeed Sosthenes wholly was astounded standing — and at-least*
Πανθία κατὰ γῆν πεσοῦσα καὶ τὴν πολιὰν τίλλουσα
*Panthia on (the)-ground having-fallen and the gray-hair tearing*
καὶ ψιλοῦσα τὴν κεφαλὴν "Ζεῦ πάτερ, φεῖσαι πολιᾶς
*and stripping the head Zeus father spare gray-hair*
ταύτης ἐμῆς" ἔλεγε, "φεῖσαι νεότητος θυγατρός· αὕτη
*this my she-said spare (the)-youth of-(my)-daughter she*
μοι παραμύθιον, αὕτη μοι παραψυχή, αὕτη μοι τοῦ γένους
*my consolation she my comfort she my of-the line*
ἐλπίς· ταύτῃ γέγηθα καὶ τῶν τοῦ γήρως κακῶν ἐπιλήθομαι·
*hope in-her I-rejoice and the of-the old-age ills forget*
ἀπ' ἐμᾶς οὖν ἀπ' ἐμᾶς ταύτης παιδὸς τὸν ἀπαίσιον τοῦτον
*from my then from my this child the ill-omened this*
πέμψον ὄρνιν. Ζεῦ Πάτερ, μή μου τοὺς ὀφθαλμοὺς ἐκκόψῃς·
*send bird Zeus Father not my the eyes put-out*
μή μου τὸν λύχνον σβέσῃς· μή μου πρόρριζον τὸν στάχυν
*not my the lamp quench not my by-the-roots the ear*
ἐκτίλῃς· μή μου τοῦ γένους παντὸς ἀποκείρῃς τὸν βόστρυχον.
*pluck not my of-the line whole shear-off the lock*
Ὦ δειλαία μήτηρ ἐγώ, δειλαία τῶν θυμάτων, δειλαία τῶν
*O wretched mother I wretched in-the offerings wretched in-the*
οἰωνῶν· καλλίπαις ἦκον ἐξ Αὐλικώμιδος, πατρίδος ἐμῆς,
*omens blessed-in-child I-came from Aulikomis fatherland my*
καὶ νῦν ἀθλιόπαις ἐν Εὐρυκώμιδι. Ὡς παρθένον τὴν ἐμὴν
*and now wretched-in-child in Eurykomis as (a)-maiden the my*
ἐνυμφοστόλουν Ὑσμίνην, καὶ νῦν ὡς νεκρὰν ἀποδύρομαι
*I-was-arraying-as-bride Hysmine and now as dead I-mourn*
καὶ ζῶσαν θρηνῶ. Ὑσμίνη μοι φῶς ἀπερρύης τῶν
*and living I-lament Hysmine my light you-have-flowed-away from-the*
ὀφθαλμῶν· οὐκ ἐπιθαλάμιον, ἀλλ' ἐπιθανάτιον ᾄδω σοι· οὐκ
*eyes not (a)-bridal-song but (a)-death-song I-sing to-you not*

ἐπιγαμηλίοις, ἀλλ' ἐπιτυμβίοις σπένδομαί σοι χοαῖς καὶ
*with-wedding but with-funeral I-pour to-you libations and*
κατὰ τὴν παροιμίαν ἄνθρακας εὑρίσκω τοὺς θησαυρούς."
*according-to the proverb coals I-find the treasures*
Ταῦτ' ἔλεγε Πανθία καὶ τὸν βωμὸν ἐπλήρου θρήνων 11
*these(-things) said Panthia and the altar filled with-laments*
καὶ κωκυτῶν, τὴν παρειὰν αὐλακίζουσα, διαρρήσσουσα τὴν
*and wailings the cheek furrowing tearing the*
ἐσθῆτα, λίθῳ πλήσσουσα τὸ στέρνον καὶ τὴν κεφαλὴν
*garment with-(a)-stone striking the breast and the head*
καταράσσουσα. Τὸ μὲν οὖν δὴ πλῆθος (οὐδὲ γὰρ ἀπὸ
*dashing the indeed then indeed crowd not for from*
δρυός, οὐδ' ἀπὸ πέτρης) τοῖς τῆς Πανθίας κατεθρύπτετο
*(an)-oak nor from (a)-rock by-the — of-Panthia was-broken-down*
καὶ θρήνοις καὶ στεναγμοῖς, καὶ ἦν ἐξ ἀνδρῶν καὶ
*both laments and groans and was of men and*
γυναικῶν σύμμικτος ἡ βοή· αἱ μὲν γὰρ δὴ γυναῖκες τῇ
*women mixed the cry the indeed for indeed women —*
Πανθίᾳ συνεθρήνουν καὶ συνεκόπτοντο, οἱ δ' ἄνδρες
*with-Panthia lamented and beat-their-breasts-with(-her) the and men*
ἐξεπλήττοντό τε καὶ κατεπλήττοντο· καὶ οἱ μὲν ἀπαίσιον
*were-astounded both and were-terrified and some indeed ill-omened*
κατεφιλοσόφουν τὸν οἰωνόν, οἱ δέ γ' αἰσιώτατον·
*reasoned the omen others and at-least most-auspicious*
ἦσαν δὲ παρ' οἷς καὶ τὸ πρᾶγμα τυχηρὸν ἐλογίζετο· οὕτω
*there-were and among whom also the thing chance was-reckoned thus*
μὲν οὖν τὸ πλῆθος ὡς καὶ τὴν γλῶσσαν καὶ τὴν γνώμην
*indeed then the crowd as both the tongue and the judgment*
εἶχον σύμμικτον καὶ διάφορον. Μήτηρ δέ μοι Διάντεια
*held mixed and discordant mother and my Dianteia*
σὺν πατρὶ Θεμιστεῖ τὴν Πανθίαν περιχυθέντες περὶ τὴν
*with father Themisteus — Panthia having-thronged-around to the*

ἡμετέραν μεθεῖλκον οἰκίαν, καὶ ταῦτα μὴ θέλουσαν· ἐγὼ
*our drew house and this not willing I*
δὲ καὶ Κρατισθένης (παρῆν γὰρ καὶ αὐτὸς) τὸν Σωσθένην
*and also Kratisthenes was-present for also himself — Sosthenes*
μεθείλκομεν καὶ περὶ τὴν οἰκίαν γεγόναμεν καὶ πρὸ τῶν
*drew and to the house came and before the*
πυλῶν τὴν Ὑσμίνην δακρύουσαν εὕρομεν· προδραμοῦσα
*gates — Hysmine weeping we-found having-run-ahead*
γάρ τις παιδίσκη ταύτην τὸ πᾶν ἀνεδίδαξε. Καὶ πάλιν
*for some maid her the all told and again*
θρῆνος ἦρτο καὶ κωκυτός· ἡ μὲν γὰρ δὴ μήτηρ ὡς
*lament was-raised and wailing the indeed for indeed mother as*
ἐπὶ θυγατρὶ θανούσῃ τὸν θρῆνον ἐξήγειρεν, ἡ δέ γε
*over (a)-daughter dead the lament raised the and at-least*
θυγάτηρ ἐπὶ μητρὶ θρηνούσῃ πικρὸν ἀντωδύρετο. Καί μοι
*daughter over (a)-mother lamenting bitterly wailed-in-turn and my*
πατὴρ Θεμιστεὺς καὶ μήτηρ Διάντεια περὶ τὸ δωμάτιον
*father Themisteus and mother Dianteia to the chamber*
τὰς γυναῖκας εἰσάγουσι, τὸν κοπετὸν κατευνάζοντες.
*the women lead-in the mourning calming*

12 Ἐγὼ δὲ καὶ Κρατισθένης περὶ τοὐμὸν γεγονότες δωμάτιον
*I and also Kratisthenes to my having-come chamber*
τὰ μετὰ τὴν Αὐλίκωμιν ἐκοινούμεθα· ὡς ἐπὶ τὸ δεῖπνον
*the(-things) after — Aulikomis shared how at the dinner*
κατὰ μέτωπόν μου τὴν Ὑσμίνην ἡ τάξις ἐκάθισεν, ὡς ἔγωγε
*in front-of me — Hysmine the order seated how I*
τὸ πόμα λαβὼν καὶ μόνον ἐγγίσας τοῖς χείλεσι
*the drink having-taken and only having-brought(-it)-near to-the lips*
πρὸς τὸν δόντ' ἀντιδέδωκα, τὴν Ὑσμίνην εἰπὼν
*to the(-one) having-given(-it) gave-back — Hysmine having-said*
ὀφείλειν μου προπιεῖν, καὶ ὁ Κρατισθένης (οὗτος γὰρ ἐξ
*to-be-obliged before-me to-drink-first and — Kratisthenes he for by*

ἐπιταγῆς τοῦ πατρὸς ᾠνοχόευε) πρὸς τὴν Ὑσμίνην ἐκόμισεν,
*order of-the father poured-wine to — Hysmine brought(-it)*
ὡς ὅλαις ἡ κόρη τοῦτο χερσὶν ὑπεδέξατο, ὡς εὐχαριστεῖ
*how with-whole the girl it hands received how she-thanks*
μοι τῷ σχήματι, ὡς ἐπὶ δευτέρῳ πόματι Κρατισθένης
*me with-the gesture how at (the)-second drink Kratisthenes*
τῇ κόρῃ μου προκιρνᾷ, ὡς αὕτη μικρὸν ἐκροφήσασα
*to-the girl before-me mixes-first how she a-little having-sipped*
τὸ πᾶν ἀντιδέδωκε, κἀγὼ τὸν διψῶντα σχηματισάμενος
*the whole gave-back and-I the(-one) thirsting having-feigned*
τῶν τοῦ Κρατισθένους μεθειλκυσάμην χειρῶν τὸ ποτήριον,
*from-the — of-Kratisthenes drew-away hands the cup*
καὶ τἆλλ' ὁπόσα συμπίνοντες ἐρωτικῶς κατεπαίζομεν· τὴν
*and the-rest as-much-as drinking-together amorously we-played the*
τῶν πατέρων καὶ μητέρων ἡμῶν πρὸς τὸν βωμὸν ἐπὶ
*of-the fathers and mothers our to the altar for*
θύμασιν ἀναχώρησιν, καὶ τὰ περὶ τὴν κλίνην τῆς κόρης
*offerings departure and the at the couch of-the girl*
ἡμέτερα παίγνια, καὶ τὰς συνθήκας ὅσας ἐρωτικῶς
*our games and the pacts as-many-as amorously*
συνεθέμεθα, τὴν ἐπὶ τῷ δευτέρῳ δείπνῳ τοῦ Σωσθένους
*we-made the at the second dinner — of-Sosthenes*
γλῶσσαν ὡς θύσοι τοὺς γάμους τῇ θυγατρί, ὡς τὸν
*tongue how he-would-celebrate the wedding for-the daughter how the*
ἐμὸν πατέρα κἀμὲ πρὸς αὐτοὺς γάμους ἐπὶ τὴν Αὐλίκωμιν
*my father and-me to (the)-very wedding to — Aulikomis*
συγκαλέσοιτο, τὴν ἡμετέραν ἐπὶ τῷ παραδόξῳ τοῦ ῥήματος
*he-would-invite the our at the strangeness of-the word*
ἔκπληξιν, καὶ τἆλλ' ὁπόσα περὶ τὴν τράπεζαν, τὴν ἐπὶ
*astonishment and the-rest as-much-as at the table the at*
δευτέροις τούτοις θύμασι τοῦ Σωσθένους καὶ τῆς Πανθίας
*second these offerings — of-Sosthenes and — of-Panthia*

πρὸς τὸν βωμὸν ἐπαγρύπνησιν, τὴν μόνωσιν τῆς παρθένου,
*at the altar vigil the solitude of-the maiden*
τὰ περὶ τὴν κλίνην ταύτης ἡμέτερα δάκρυα καὶ τέλος τὰς
*the at the couch her our tears and finally the*
συνθήκας, ἃς συνεθέμεθα θεοὺς αὐτοὺς διαμαρτυράμενοι.
*pacts which we-made (the)-gods themselves having-called-to-witness*
13 Καὶ ὁ Κρατισθένης "αἰσιώτατόν σοι τὸν οἰωνὸν
*and — Kratisthenes most-auspicious for-you the omen*
προμαντεύομαι, τῷ δ' εἰς Αὐλίκωμιν τῆς Ὑσμίνης νυμφίῳ
*I-foretell for-the but in Aulikomis — of-Hysmine bridegroom*
καὶ λίαν ἀπαισιώτατον. Εἰ γοῦν καὶ Ζεὺς αὐτὸς τὴν
*and very most-ill-omened if at-any-rate even Zeus himself the*
ἁρπαγὴν ὑπαινίττεται καὶ οἷον ταύτην κατεπισκήπτει
*abduction hints-at and as-it-were it enjoins*
σοι, τί μέλλεις; τί δ' ἀναδύῃ;" ἐγὼ δὲ πρὸς αὐτὸν
*on-you why do-you-delay why and do-you-shrink-back I and to him*
"ἐν συμφοραῖς κατὰ τὴν τραγῳδίαν φίλοι σαφέστατοι·
*in misfortunes according-to the tragedy friends (are)-surest*
καί μοι διασκόπησον τὰ τοῦ πράγματος." Καὶ ὁ
*and for-me consider the(-things) of-the affair and —*
Κρατισθένης "ἐγώ σοι καθυπηρετήσω τῷ δράματι·" καὶ
*Kratisthenes I for-you will-serve the drama and*
"χαίροις" εἰπών μοι περὶ τὴν διασκευὴν τοῦ πράγματος
*rejoice having-said to-me about the arranging of-the affair*
ᾤχετο· κἀγὼ περὶ τὸ δωμάτιον γέγονα.
*went-off and-I to the chamber went*
14 Ἔνθα μοι πατὴρ καὶ μήτηρ σὺν Σωσθένει καὶ Πανθίᾳ
*there my father and mother with Sosthenes and Panthia*
καὶ τῇ κόρῃ τὰ περὶ τὸν βωμὸν καὶ τὸ θῦμα
*and the girl the(-things) about the altar and the offering*
διελογίζοντο, καὶ τῆς παρθένου πρὸς τὴν μητέρα λεγούσης
*were-discussing and of-the maiden to the mother saying*

ἀκήκοα "ἱκανά σοι, μῆτερ, κατευνάσαι τῆς ψυχῆς τὸ
*I-have-heard enough(-things) for-you mother to-calm of-the soul the*
κλυδώνιον τὰ παρὰ Θεμιστέως καὶ Διαντείας εἰρημένα
*storm the(-things) by Themisteus and Dianteia said*
σοι, μὴ πιθανότητος ἀλλ' ἀληθείας ἐχόμενα· σὺ δ' ἵνα τί
*to-you not of-plausibility but of-truth holding you and for what*
καὶ πάλιν οὕτως ὅλη γίνῃ τοῦ πράγματος καὶ ὅλην
*also again so wholly are(-given-over) to-the affair and whole*
ἑαυτὴν καταθρύπτεις τοῖς ὀδυρμοῖς; Ζεὺς ἀνανεύει τὸν
*yourself break-down with-the lamentations Zeus refuses the*
γάμον, οὐ βούλεται νυμφαγωγηθῆναί με· τοῦτο φὴς τὸν
*marriage not wishes to-be-led-as-bride me this you-say the*
ἀετὸν ὑπαινίττεσθαι. Τῆς τοῦ Διὸς προμηθείας, τῆς τούτου
*eagle to-hint what — of-Zeus forethought what his*
φιλανθρωπίας. Σὺ δ' ἠβούλου νυμφευθῆναί με καί μοι
*kindness you and wished to-be-married me and for-me*
τελεσθῆναι τὸν γάμον ἀπαίσιον. Τί, μῆτερ, θρηνεῖς ἐφ'
*to-be-celebrated the marriage ill-omened why mother do-you-lament at*
οὕτω καλῷ Διὸς οἰωνῷ;" Καί μοι πατὴρ Θεμιστεὺς τὴν
*so fine of-Zeus omen and my father Themisteus the*
παρθένον ἐπῄνεσε λέγων "εὖγέ σοι τῆς συνέσεως, κόρη,
*maiden praised saying bravo to-you for-the understanding girl*
καὶ τῆς γλώσσης ὑπέρευγε" καὶ πρὸς τὸν Σωσθένην φησὶν
*and for-the tongue well-done-indeed and to — Sosthenes says*
"εἰ δοκεῖ, γενώμεθα καὶ περὶ τὴν τράπεζαν· Διασίων
*if it-seems-good let-us-go also to the table of-(the)-Diasia*
καιρός, σεβασθῶμεν τὴν ἑορτήν, ἵν' ᾖ καὶ Ζεὺς
*(the)-season let-us-honor the feast that may-be also Zeus*
ἡμῖν εὐμενέστερος. Μετάσχωμεν τροφῆς, συμμετάσχωμεν
*to-us more-gracious let-us-partake of-food let-us-share*
ὕπνου· ἤδη καὶ νύξ, ἐγγὺς ὁ τῶν θυμάτων καιρός, ἐπὶ
*of-sleep already and night near the of-the offerings time to*

τὸν βωμὸν ἡμᾶς συγκαλούμενος.” Ἡ δὲ Πανθία φησὶν
*the altar us summoning — and Panthia says*
“οὐκέτι περὶ τὸν βωμὸν γένωμαι, οὐ θῦμα θύσω
*no-longer to the altar may-I-go not offering I-shall-sacrifice*
λαμπρὸν ὑψιπέτῃ ἀετῷ· ἅλις μοι τῶν θυμάτων, ἅλις
*splendid for-high-flying eagle enough for-me of-the offerings enough*
μοι τῶν θρήνων, κόρος μοι τῆς ἀπευκταίας ταύτης
*for-me of-the laments surfeit for-me of-the abominable this*
οἰωνοσκοπῆς· κἂν ὁ θηριώδης ἐκεῖνος ἀετὸς καὶ ἀπαίσιος
*augury even-if the savage that eagle and ill-omened*
οὐκ ἐκορέσθη τοῖς θύμασιν, οὗτος ἀετὸς ἐκεῖνος, ὃς
*not was-sated with-the offerings this eagle (is)-that which*
Προμηθέως ὀρύττει πλευράν, ὃς ὅλον ἦπαρ κατέφαγε καὶ
*of-Prometheus digs side which whole liver devoured and*
τὴν ἐμὴν ὅλην ταύτην γαστέρα παντελῶς κατορώρυχε καὶ
*the my whole this belly utterly has-dug-out and*
τὰ σπλάγχνα κατεδηδόκει μου.” Καὶ ὁ Σωσθένης “μὴ
*the entrails had-devoured my and — Sosthenes not*
τὴν γλῶσσαν οὕτω προπετῶς προπέμποις καὶ ἀναιδῶς,
*the tongue so rashly may-you-let-loose and shamelessly*
μή σοι Ζεὺς χολωθῇ. Πεισθῶμεν τῷ Θεμιστεῖ.” Καὶ
*lest with-you Zeus be-angered let-us-obey — Themisteus and*
πρὸς τὸν Σωσθένην ἡ Πανθία φησὶ
*to — Sosthenes — Panthia says*

“σὺ μαλθακίζου, τὴν δ’ ἐμὴν αὐθαδίαν
*you be-soft the but my willfulness*
ὀργῆς τε τραχυτῆτα μὴ ’πίπλησσέ μοι·
*of-temper and harshness not reproach to-me*

ὅλα γὰρ τὰ σπλάγχνα μου καταπίμπραμαι.”
*whole for the entrails my I-am-burned*

Μετὰ γοῦν δὴ πολλὰ τἀν μέσῳ τράπεζα παρ’ 15
*after at-any-rate indeed much the(-things)-in between (a)-table by*
ἡμῖν αὐτοσχέδιος τὸ δωμάτιον, τὰ δὲ περὶ τροφὰς καὶ
*us improvised the chamber the(-things) and about foods and*
πόσεις ἀφιλότιμα καὶ λίαν ἀνέορτα. Παρὰ δὴ μέσῃ ταύτῃ
*drinks plain and very unfestive at indeed middle this*
τῇ τραπέζῃ πάλιν ὁ καλὸς ἦκε Κρατισθένης καὶ σὺν ἡμῖν
*the table again the fine came Kratisthenes and with us*
κατεκλίθη κατὰ γῆν καὶ κατὰ λίθους, οἷς μάλα
*reclined on (the)-ground and on stones with-which very*
τηλαυγέσιν ἐκεκόσμητο τὸ δωμάτιον. Καὶ τέλος τὰ
*far-shining had-been-adorned the chamber and (an)-end the(-things)*
περὶ τὴν τράπεζαν καὶ τὸ δεῖπνον ἐλάμβανεν, εἴ γε
*about the table and the dinner took if at-least*
δεῖ τράπεζαν καὶ δεῖπνον ἐκεῖνα καλεῖν· καὶ πάλιν ἐμὸς
*(one)-must table and dinner those to-call and again my*
πατὴρ Θεμιστεὺς πρὸς τὴν Πανθίαν φησὶν “ὡς μήτηρ μὲν
*father Themisteus to — Panthia says that (a)-mother indeed*
σύ, καὶ μήτηρ φιλόπαις, οὐχ ἧττον δὲ καὶ καλλίπαις
*you(-are) and (a)-mother child-loving not less and also blessed-in-child*
(εἰρήσθω γὰρ τἀληθές), οὐκ ἀρνήσομαι· ὡς δὲ καὶ
*let-it-be-said for the-truth not I-will-deny that and also*

γυναιξὶ δεινὸν αἱ δι’ ὠδίνων γοναί,
*for-women (a)-terrible(-thing) the through labor-pains births*

ὅλαι μητέρες συμμαρτυρήσουσιν· ὅτι δ’
*all mothers will-bear-witness that and*

ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
*simple the word of-the truth is*

οἴδασι πάντες καὶ σύ. Ἐπὶ γοῦν σοι θυγατρὶ
*know all and you for at-any-rate your daughter*
νυμφαγωγουμένῃ πάντως τὰ θύματα τέθυται, ἃ
*being-led-as-bride surely the offerings have-been-sacrificed which*
πάντα Διὸς ἀετὸς ἀνηρείψατο. Εἰ μὲν οὖν ἀπαίσιος
*all of-Zeus (the)-eagle snatched-up if indeed then ill-omened*
ὁ ἀετὸς καὶ τὸ σημεῖον οὐκ ἀγαθόν, οὐκ ἀκριβὴς
*the eagle and the sign not good not exact*
οἰωνοσκόπος ἐγώ· εἰ δ' ἀπαισιώτατόν σοι τὸ πρᾶγμα
*augur I if and most-ill-omened to-you the thing*
δοκεῖ καὶ ὄντως ἐστὶν ἀπαισιώτατον, τοῦτο μᾶλλον ἡμῖν
*seems and truly is most-ill-omened this rather for-us*
αἰσιώτατον· εἰ μὲν γὰρ μετὰ τὸν νυμφῶνα τὸ θῦμα, καὶ
*most-auspicious if indeed for after the bride-chamber the offering and*
Ζεὺς ἀνανεύει τοὺς γάμους καὶ τῷ ἀετῷ τὴν ἀνάνευσιν
*Zeus refuses the wedding and by-the eagle the refusal*
ὑπαινίττεται, οὐκ ἄκαιρόν σοι τὸ δάκρυον· τῷ γάρ τοι
*hints-at not unseasonable for-you the tear — for surely*
Ἐπιμηθεῖ τὸ μεταμέλειν ἀνωφελῶς ἀφωσίωται· εἰ δέ σοι
*to-Epimetheus the to-regret uselessly has-been-assigned if but for-you*
πρὸ τοῦ γάμου τὸ θῦμα, καὶ ζητεῖς τὸ μέλλον μαθεῖν, καὶ
*before the wedding the offering and you-seek the future to-learn and*
Ζεὺς οὐκ ἐπιτρέπει τοὺς γάμους, καὶ λίαν εὐμενής σοι
*Zeus not permits the wedding also very gracious to-you*
τῆς προμηθείας θεός, καὶ περὶ τὸ θυγάτριον εὐτυχεῖς.
*in-the forethought (the)-god and in the little-daughter you-are-fortunate*
Τί γοῦν ἐφ' οὕτω καλῷ Διὸς οἰωνῷ θρῆνον ἐγείρεις
*why at-any-rate at so fine of-Zeus omen lament do-you-raise*
καὶ κωκυτόν, εὐχαριστήριόν τι μᾶλλον θῦμα περιφανὲς
*and wailing thanksgiving some rather offering conspicuous*
ὀφείλουσα Σωτῆρι Διὶ καὶ σώστρα ταύτης τῆς σῆς θυγατρός;
*owing to-Savior Zeus and rescue-gifts for-this the your daughter*

Εἰ δ' οὖν, καὶ τῷ ῥυσαμένῳ σε καὶ κλύδωνος καὶ
*if and then also to-the(-one) having-rescued you both from-storm and*
πυρὸς ἀδικίαν ἐπεγκαλέσεις, ὅτι σοι τὸ ζῆν ἐχαρίσατο."
*fire injustice you-will-charge because to-you the to-live he-granted*
Μόλις οὖν τοῖς τοῦ πατρὸς τούτοις λόγοις πεισθεῖσα 16
*barely then by-the of-the father these words persuaded*
Πανθία καὶ μικρὸν ἀνενεγκοῦσα τῆς οἰμωγῆς ἀνακεκλίσθαι
*Panthia and a-little having-recovered from-the wailing to-recline*
συνέθετο καὶ πάλιν ἐπαγρυπνῆσαι τοῖς θύμασι, καὶ οὕτως
*agreed and again to-keep-vigil at-the offerings and thus*
ἀπ' ἀλλήλων ᾠχόμεθα. Ὁ γοῦν Κρατισθένης σὺν ἐμοὶ
*from one-another we-went — at-any-rate Kratisthenes with me*
γενόμενος περὶ τὸ δωμάτιον, πρός μέ φησιν "οὐκέτι σοι
*having-come to the chamber to me says no-longer for-you*
καιρὸς ἀναβολῆς· πάντα γάρ σοι Ζεὺς σὺν ἡμῖν εὖ
*(is-there)-time for-delay all for for-you Zeus with us well*
διέθετο, καὶ ναῦς ἡτοίμασται περὶ Συρίαν ἀπαίρουσα·
*has-arranged and (a)-ship has-been-made-ready for Syria sailing*
καί μοι ξεῖνος πατρώιος Σύριος, ὃς ὑμᾶς ξεναγωγήσει
*and my guest-friend ancestral (a)-Syrian who you will-host*
καὶ φιλοτίμως καθυποδέξεται." Καὶ πρὸς τὸν Κρατισθένην
*and lavishly will-receive and to — Kratisthenes*
ἐγὼ "εἴπερ οὐ κατέψευσαι τὴν φιλίαν καὶ τὸν σὸν
*I if-indeed not you-have-played-false the friendship and the your*
Ὑσμινίαν φιλεῖς καὶ ἄλλον κρίνεις αὐτόν, συνεκπλεύσεις
*Hysminias you-love and (an)-other you-judge self will-you-sail-with*
ἡμῖν;" Ὁ δέ μοί φησιν "ἐμοὶ δ' οὔποτε κατὰ νοῦν γέγονε
*us he and to-me says to-me and never in mind has-come*
μὴ συνεκπλεῦσαι, μὴ συμπονῆσαί σοι, μὴ συμπαθεῖν καὶ
*not to-sail-with(-you) not to-toil-with you not to-suffer-with(-you) and*
ὑπερπαθεῖν· χάρις δ' ἔστω μοι, τὸ μηκέτι πρὸς ἀναβολὰς
*to-suffer-for(-you) favor and let-it-be to-me the no-longer to delays*

χωρεῖν μοι τοῦ πράγματος.” Ἐγὼ δὲ πρὸς αὐτὸν “σὺ
*to-go for-me of-the affair I and to him you*
μὲν εἰ βούλει γενοῦ μοι περὶ τὴν θάλασσαν καὶ τὰ
*indeed if you-wish go for-me to the sea and the(-things)*
περὶ τὴν ναῦν διακόσμησον· ἐγὼ δ’, ἡνίκα θυμάτων καιρὸς
*about the ship arrange I and when of-offerings (it-is)-time*
καὶ Σωσθένης καὶ Πανθία περὶ τὰ θύματα σὺν τοκεῦσιν
*and Sosthenes and Panthia at the offerings with parents*
ἐμοῖς, περὶ τὴν κόρην γενόμενος τὸ πᾶν ἐκκαλύψω τοῦ
*my to the girl having-gone the whole will-reveal of-the*
δράματος. Σὸν δ’ ἔργον ἔσται διασκοπεῖν τὸν καιρὸν καὶ
*drama your and task will-be to-watch-for the moment and*
ἡμᾶς περὶ τὸν λιμένα καὶ τὴν ναῦν συγκαλέσασθαι.”
*us to the harbor and the ship to-summon*

17 Ὁ μὲν οὖν Κρατισθένης ἐξῆλθε τοῦ δωματίου, ἐγὼ δ’
*— indeed then Kratisthenes went-out of-the chamber I and*
ὅλος ἐπὶ τὴν κλίνην ἀνακλιθεὶς ὅλας εἶχον λογισμῶν
*wholly on the couch having-lain-down whole I-had of-thoughts*
θαλάσσας ἐπικλυζούσας μου τὴν ψυχήν, καὶ ὡς ναῦς ἐν
*seas flooding my the soul and as (a)-ship in*
σάλῳ κατεκυματούμην καὶ κλύδωνι· ἠνιώμην, ἔχαιρον,
*swell I-was-tossed and by-surge I-was-distressed I-rejoiced*
ἐδειλίων, ἐθάρρουν, ὅλος ἤμην ἡδονῆς καὶ φόβου μεστός·
*I-feared I-took-heart wholly I-was of-pleasure and fear full*
τὸ μὲν γὰρ ἐπιτυχεῖν σφόδρα μου κατέσαινε τὴν ψυχήν,
*the indeed for to-succeed greatly my fawned-on the soul*
τὸ δ’ ἀποτυχεῖν καὶ λίαν κατέσειεν.
*the and to-fail and very-much shook(-it)*

18 Ἐν μέσοις δὴ τούτοις τοῖς κύμασιν, ἐν ὅλαις θαλάσσαις
*in (the)-midst indeed these the waves in whole seas*
καὶ κλύδωνι, ὕπνος μου τοὺς ὀφθαλμοὺς περικέχυται,
*and surge sleep my the eyes has-poured-over*

καὶ πλῆθος οὐκ εὖ ἀριθμούμενον ὁρῶ περὶ τὸ δωμάτιον
*and (a)-throng not well counted I-see in the chamber*
νεανίσκων καὶ παρθένων ἐστεφανωμένων ῥόδῳ τὰς
*of-youths and maidens crowned with-rose (on)-the*
κεφαλάς, τὰς χεῖρας συνδουμένων ἀλλήλοις κατὰ σειρὰν
*heads (by)-the hands bound to-one-another in (a)-chain*
καὶ μέλος ᾄδόντων οἷον Σειρῆνες ᾄδουσι· καὶ ἦν τὸ μέλος
*and (a)-song singing such-as Sirens sing and was the song*
Ἔρωτος ὕμνος καὶ Ἀφροδίτης ἐγκώμια· τὸ δ᾽ ᾆσμα καθ᾽
*of-Eros (a)-hymn and of-Aphrodite praises the and song as*
ὑμέναιον ᾔδετο καὶ οἷον ἐπὶ παστάσιν ᾄδουσιν Ἔρωτες.
*(a)-wedding-song was-sung and such-as at bridal-chambers sing (the)-Loves*
Τὸ μὲν οὖν δὴ πλῆθος ᾖδε τὸ μέλος, καί μου τὴν ψυχὴν
*the indeed then indeed throng sang the song and my the soul*
ἡδονῆς ἐπλήρου καὶ χάριτος ἐρωτικῆς, καὶ ἤμην ὅλος ὡς
*with-pleasure filled and grace amorous and I-was wholly as*
ἐκβεβακχευμένος ἐξ ἔρωτος. Ἐν μέσῳ τούτῳ τῷ συμμίκτῳ
*maddened by love in (the)-midst this the mixed*
χορῷ τῷ λαμπρῷ τῷ χαρίεντι, ἐν μέσοις στεφάνοις,
*chorus the brilliant the graceful in (the)-midst of-crowns*
ἐν μέσαις ᾠδαῖς, ἐν μέσοις ἐρωτικοῖς μελῳδήμασιν ὁρῶ
*in (the)-midst of-songs in (the)-midst of-amorous melodies I-see*
καὶ πάλιν ἐκεῖνον τὸν ἐφ᾽ ὑψηλοῦ τοῦ δίφρου καθήμενον
*also again that the on high the throne sitting*
Ἔρωτα βασιλικῶς ἐσταλμένον καὶ τὴν Ὑσμίνην τῆς
*Eros royally arrayed and — Hysmine by-the*
χειρὸς μεθελκόμενον· ἐγὼ δ᾽ ὅλος ἐξεθαμβήθην ἰδών. Ὁ
*hand drawing I and wholly was-astounded having-seen he*
δέ μοί φησιν “Ὑσμινία, ἰδοὺ τὴν Ὑσμίνην ἔχεις,” καὶ
*and to-me says Hysminias behold — Hysmine you-have and*

τὴν χεῖρα ταύτης τῇ δεξιᾷ μου χειρὶ παραθεὶς ἀπέπτη
*the hand her in-the right my hand having-placed flew-away*
μου τῶν ὀφθαλμῶν, καὶ τοὺς ὕπνους συμμεθελκόμενος.
*from-my the eyes and the sleep drawing-off-with(-him)*

## VII · THE STORM AT SEA

*Hysmine fears she will be forgotten once she is back in Aulikomis, and refuses to anticipate the marriage Zeus has granted; Kratisthenes has a ship ready, and the three sail by night with a fair wind. At sunrise a storm rises; Hysmine laments in Hysminias' arms, and he vows to drown with her. The helmsman calls for the sailors' lot, it falls on Hysmine, and she is stripped and thrown to the waves, and the sea falls calm. Put ashore for his wailing, Hysminias mourns her on the sand, reproaching Eros, until in a dream Eros dives and brings her back.*

1 Οὕτω μὲν οὖν μοι τὴν Ὑσμίνην Ἔρως παρέθετο καὶ
*thus indeed then to-me — Hysmine Eros entrusted and*
μεθ' ὕπνους ὅλην ἐδόκουν ἔχειν αὐτήν, καὶ ὅλον ἑώρων
*after sleep wholly I-seemed to-have her and wholly I-saw*
τὸν Ἔρωτα. Ἐπεὶ δὲ καὶ θυμάτων καιρός, καὶ πάλιν
*— Eros since and also of-offerings (it-was)-time and again*
Σωσθένης καὶ Πανθία σὺν μητρί μοι καὶ πατρὶ Θεμιστεῖ,
*Sosthenes and Panthia with mother my and father Themisteus*
τὴν περὶ τὸ ἱερὸν ἐστέλλοντο καὶ τὰ θύματα, περὶ τὴν
*the(-road) to the temple set-out and the offerings about —*
Ὑσμίνην καὶ πάλιν ἐγὼ θύσων ὅλον αὐτὸν ἢ θῦμα τὴν
*Hysmine also again I to-sacrifice wholly myself or (as)-offering —*
Ὑσμίνην ὅλην λαβεῖν. Καὶ πάλιν φιλῶ συμπλεκόμενος καὶ
*Hysmine whole to-take and again I-kiss entwining and*
πάλιν ἀντιφιλοῦμαι καταπλεκόμενος καὶ πρὸς τὴν κόρην
*again I-am-kissed-back enfolded and to the girl*

φημὶ "Ἔρως τῇ χειρί μου ταύτῃ σε παρατίθησι, καὶ
*I-say Eros to-the hand my this you entrusts and*
Ζεὺς τὴν ἁρπαγὴν ὑπαινίττεται." Ἡ δέ μοί φησι "σὺ
*Zeus the abduction hints-at she and to-me says you*
δ' οὔτε Διὸς αἰνίγμασι πείθῃ καὶ τὴν ἐξ Ἔρωτος
*and neither of-Zeus by-riddles are-persuaded and the from Eros*
παρακαταθήκην οὐκ ἐθέλεις τηρεῖν. Εἶδες τὸ θῦμα, τὸν
*deposit not you-wish to-keep you-saw the offering the*
ἀετόν· σὺ δὲ τὸν Δία βούλει κατὰ μέτωπον στῆναί σοι
*eagle you and — Zeus wish in front to-stand before-you*
καὶ κατὰ στόμα λαλῆσαί σοι;" Καὶ πρὸς τὴν παρθένον
*and by mouth to-speak to-you and to the maiden*
ἐγὼ "νῦν ἐν ὀνείροις εἶδον τὸν Ἔρωτα τῇ χειρί σε
*I now in dreams I-saw — Eros by-the hand you*
κατέχοντα καὶ πρὸς τὴν ἐμὴν ταύτην παρατιθέμενον
*holding and to the my this entrusting(-you)*
δεξιάν." Ἡ δέ μου τὴν δεξιὰν κατεφίλησεν, ἐγὼ δὲ καὶ τὴν
*right(-hand) she and my the right kissed I and also the*
ἑτέραν αὐτῆς· καὶ ἦμεν πάλιν καταφιλοῦντες ἐρωτικῶς.
*other of-hers and we-were again kissing amorously*
Ἡ δέ μοι κόρη φησὶ "καλὰ μέν, Ὑσμινία, καὶ τὰ φιλήματα, 2
*the and to-me girl says fine indeed Hysminias also the kisses*
καὶ λίαν καλὰ καὶ γέμοντα χάριτος, ἀλλ' ἤδη πέρας ἔχει
*and very fine and full of-grace but already (an)-end have*
τὰ θύματα, καὶ πάλιν Ὑσμίνη πρὸς Αὐλικώμιδα· πρὸς δὲ
*the offerings and back Hysmine to Aulikomis at and*
ταυτηνὶ τὴν Εὐρύκωμιν ὁ καλὸς Ὑσμινίας μοι σύ, ὁ τῶν
*this-here — Eurykomis the fine Hysminias my you the of-the*
χαρίτων λειμών, τὸ τῶν ἐρώτων σίμβλον, ὁ τῆς ἐμῆς
*graces meadow the of-the loves hive the of-the my*
Ὑσμίνης δεσπότης. Ἀλλ', ὦ φῶς ἐμῶν ὀφθαλμῶν, καρδίας
*Hysmine master but O light of-my eyes of-heart*

παραψυχὴ καὶ ψυχῆς παραμύθιον, μή σοι λήθης
*comfort and of-soul consolation let-not for-you of-forgetfulness*
πόμα κεράσῃ μὴ χρόνος, μὴ πραγμάτων μεταβολαί, μή,
*(a)-drink mix not time not of-affairs changes not*
τοῦτο δὴ τὸ καὶ θανάτου πικρότερον, παρθένος ἐξ
*this indeed the(-thing) even than-death more-bitter (a)-maiden from*
Εὐρυκώμιδος." Καὶ πάλιν ἐφίλει καὶ πάλιν ἐδάκρυεν.
*Eurykomis and again she-kissed and again wept*
3 Ἐγὼ δ' ὅλην περιπλακεὶς τὴν κόρην καὶ ὅλην καταφιλήσας
*I and whole having-embraced the girl and whole having-kissed*
ἐρωτικῶς "τὸν Κρατισθένην" εἶπον "οὐκ ἀγνοεῖς, τὸν
*amorously — Kratisthenes I-said not you-are-unaware-of the(-one)*
συνεκπλεύσαντά μοι περὶ πατρίδα τὴν σὴν τὴν Αὐλίκωμιν.
*having-sailed-with me to fatherland the your — Aulikomis*
Οὗτός μοι συμπατριώτης, ἀδελφιδοῦς ἐμός, ἄλλος αὐτός." Ἡ
*he my fellow-countryman nephew my another self she*
δέ μοί φησι "καὶ καθυπηρέτησα τούτῳ καὶ τῇ χειρί μου
*and to-me says both I-served him and with-the hand my*
ταύτῃ κεκέρακα." "Οὗτος δ'" ἐγὼ πρὸς αὐτὴν "καὶ ναῦν
*this I-have-mixed he and I to her both (a)-ship*
ἡτοίμασε καὶ τὰ περὶ τὴν ἡμετέραν φυγὴν διεκόσμησε,
*has-made-ready and the(-things) about the our flight has-arranged*
καὶ συνεκπλεύσει τούτοις ἡμῖν καὶ ὅλῳ καθυπηρετήσει τῷ
*and will-sail-with these us and whole will-serve the*
δράματι." Καὶ ἡ κόρη τὸ στόμα μου κατεφίλησε λέγουσα
*drama and the girl the mouth my kissed saying*
"καταφιλῶ σου τὸ στόμα, καὶ τὴν γλῶσσαν ἀσπάζομαι
*I-kiss your the mouth and the tongue I-greet*
τὴν καλήν μοι ταύτην ἀγγελίαν ἀγγέλλουσαν."
*the fine to-me this news announcing*

Καὶ πάλιν πρὸς τὴν παρθένον ἐγὼ "ἰδοὺ καὶ Ζεὺς καὶ 4
*and again to the maiden I behold both Zeus and*
μέγας Ἔρως αὐτὸς τῇ χειρί μου ταύτῃ σε παρατίθησι·
*great Eros himself to-the hand my this you entrusts*
τί γοῦν μὴ τὸν βότρυν τρυγῶ πεπανθέντα καὶ ὅλον
*why at-any-rate not the cluster should-I-gather ripened and wholly*
ὑπερπερκάσαντα; τί μὴ τὸν στάχυν θερίζω κεκυφότα πρὸς
*darkened-to-ripeness why not the ear should-I-reap bending to*
γῆν;" καί τι δρᾶν ἐπεχείρουν ἐρωτικώτερον, καὶ ὅλος
*(the)-ground and something to-do I-attempted more-amorously and wholly*
ἤμην ἐπὶ τῷ ἐγχειρήματι, θλίβων, φιλῶν, συμπλεκόμενος,
*I-was at the attempt pressing kissing entwining*
θρασυτέραν ἔχων τὴν χεῖρα καὶ τἆλλα πράττων ὅσα
*bolder having the hand and the-rest doing as-much-as*
καθυπηρετοῦσι πρὸς ἔρωτα. Τὴν δ' Ὑσμίνην οὐκ ἔπειθον
*serve for love — but Hysmine not I-persuaded*
"οὐ πείσεις, οὐδ' ἢν πείσῃς με" λέγουσαν, "οὐδὲ
*not you-will-persuade(-me) not-even if you-persuade me saying not*
γὰρ κλέψω τὸν γάμον, ὅν μοι Ζεὺς ἐχαρίσατο."
*for I-will-steal the marriage which to-me Zeus granted*
Ταῦθ' ἡμεῖς ἐρωτικῶς ἐμαχόμεθα καὶ παίζοντες 5
*these(-things) we amorously fought and playing*
ἐσπουδάζομεν· καὶ ὁ Κρατισθένης περὶ τὴν πύλην γενόμενος
*were-in-earnest and — Kratisthenes at the gate having-come*
"Ὑσμινία" φησίν· ἐγὼ δὲ πρὸς τὴν κόρην "ὁ Κρατισθένης"
*Hysminias says I and to the girl — Kratisthenes*
φημί· τὴν γὰρ ἀκοὴν ὅλην εἶχον ἀπηωρημένην τῆς τοῦ
*say the for hearing wholly I-held hung on-the —*
Κρατισθένους φωνῆς· καὶ ὀφθαλμοὶ μέν μοι καὶ χεῖρες πρὸς
*of-Kratisthenes voice and eyes indeed my and hands on*
τὴν παρθένον, ὁ δέ γε νοῦς πρὸς αὐτόν. Καὶ σὺν τῇ
*the maiden the and at-least mind on him and with the*

παρθένῳ τῆς κλίνης ἀνέστημεν ἐξ αἰδοῦς καὶ χαρᾶς· καὶ
*maiden from-the couch we-rose from shame and joy and*
περὶ τὴν πύλην γενόμενοι "χαίροις" τῷ Κρατισθένει φαμέν·
*to the gate having-come rejoice — to-Kratisthenes we-say*
ὁ δ' "οὐχ ἕδρας" φησὶ "καιρός· περὶ τὸν λιμένα γενώμεθα,
*he and not of-sitting says (it-is)-time to the harbor let-us-go*
τῆς νεὼς ἐπιβῶμεν, ἀποβῶμεν τῆς Εὐρυκώμιδος."
*on-the ship let-us-embark let-us-go-off — from-Eurykomis*
6 Ταῦτ' εἶπε καὶ κατήρχετο τῆς ὁδοῦ, καὶ ἡμεῖς
*these(-things) he-said and began the way and we*
συνειπόμεθα. Καὶ δὴ περὶ τὸν λιμένα γενόμενοι καὶ
*followed and indeed at the harbor having-arrived and*
τὰς χεῖρας ὅλας πρὸς αὐτὸν ἀνατεινάμενοι τὸν λαμπρὸν
*the hands wholly to (the)-very having-raised the bright*
οὐρανὸν "Ζεῦ πάτερ" ἐλέγομεν, "σοὶ καὶ τοῖς σοῖς αἰνίγμασι
*heaven Zeus father we-said to-you and to-the your riddles*
καθυπείκοντες ταύτην στελλόμεθα. Σὸς παῖς ἡμᾶς Ἔρως
*yielding this(-way) we-set-out your son us Eros*
πολιορκεῖ καὶ πατρίδων ἡμῶν ἐφέλκεται λάφυρον. Σὺ δ',
*besieges and from-fatherlands our drags-away (as)-spoil you and*
ὦ Πόσειδον, ἐκ μεταφρένου πνεῦσον, μὴ κατὰ μέτωπον· μὴ
*O Poseidon from behind blow not in (our)-face not*
πρὸς πνεῦμα πανεύδιον ἀντιπνεύσῃς Διός, μὴ πρὸς Ἔρωτος
*against (the)-breath all-calm blow of-Zeus not against of-Eros*
ζέφυρον, οἷς ἡμεῖς εὐκραῶς περὶ τὸν λιμένα γεγόναμεν."
*(the)-west-wind by-which we mildly to the harbor have-come*
7 Ταῦτ' εἰπόντες καὶ τῆς νεὼς ἐπιβάντες, ἐξ οὐρίας
*these(-things) having-said and on-the ship having-embarked with (a)-fair-wind*
ἐπλέομεν· ὁ γὰρ δὴ τὰ πρῶτα γλυκὺς Ποσειδῶν ὅλος
*we-sailed the for indeed the first sweet Poseidon wholly*
ἀπὸ πρύμνης ἐξέπνευσε καὶ τὸ ἱστίον κατακυρτώσας καὶ
*from (the)-stern blew and the sail having-bellied and*

πτερώσας τὴν ναῦν μεθ' ἡδονῆς ἡμᾶς μετεκόμιζεν. Ἐγὼ δ'
*having-winged the ship with pleasure us carried I and*
εἶχον κλίνην τὴν ναῦν καὶ στρωμνὴν τῆς παρθένου τὰ γόνατα
*had (as)-couch the ship and (as)-bed of-the maiden the knees*
καὶ ὅλος ἀνακλιθεὶς οὕτως ἡδέως ὕπνωττον ὡς οὐδέποτε,
*and wholly reclining so sweetly slept as never*
νὴ τὸν Ἔρωτα· ἡ δέ μοι παρθένος κατεπιθεῖσα τὸ στόμα
*by — Eros the and my maiden having-laid the mouth*
καὶ τοῖς ὀφθαλμοῖς καὶ τοῖς χείλεσιν ἀψοφητὶ κατεφίλει
*both on-the eyes and on-the lips noiselessly kissed*
με; καὶ ἦν ἡ ναῦς παρ' ἡμῖν καὶ παστὰς καὶ κλίνη καὶ
*me and was the ship for us both bridal-chamber and couch and*
στρωμνὴ καὶ δωμάτιον. Οὕτως Ἔρως εἰς ψυχὴν ἐμπεσὼν
*bed and chamber thus Eros into (a)-soul having-fallen*
καὶ ὅλην καταδουλώσας αὐτὴν τῶν μὲν ἄλλων πάντων
*and wholly having-enslaved it the indeed other all(-things)*
πείθει καταφρονεῖν, ὅλην δὲ πρὸς ἑαυτὸν μεθαρμόζεται.
*persuades(-it) to-despise wholly and to himself fits(-it)*
Οὕτω μὲν οὖν εἶχε τὰ τῆς νυκτός· ἐπεὶ δ' ὑπὲρ γῆν 8
*thus indeed then were the(-things) of-the night when but above (the)-earth*
ὁ ἥλιος γέγονε καὶ νὺξ οὐδαμοῦ, πνεῖ Ποσειδῶν κατὰ
*the sun had-come and night (was)-nowhere blows Poseidon in*
μέτωπον καὶ ὅλος ἐκ πρώρας ἡμῖν καταντιπνεῖ, καὶ ὅλην
*(our)-face and wholly from (the)-prow against-us blows and whole*
τὴν ναῦν φιλονεικεῖ καταδῦσαι τοῖς κύμασι καὶ ὅλην εἰς
*the ship strives to-sink with-the waves and whole to*
βυθὸν ἀγαγεῖν σὺν αὐτοῖς πλωτῆρσι, σὺν αὐτῷ φόρτῳ, σὺν
*(the)-depth to-bring with (the)-very sailors with (the)-very cargo with*
αὐτοῖς σίμβλοις Ἔρωτος, ἃ μεστὰ μέλιτος ἐρωτικοῦ τὴν
*(the)-very hives of-Eros which full of-honey amorous the*
καλὴν εἶχεν Ὑσμίνην καὶ τὸν Ὑσμινίαν ἐμέ, κἂν Ποσειδῶν
*fair held Hysmine and — Hysminias me even-if Poseidon*

ἀντὶ μέλιτος ἀψινθίου πληροῦν ἀντεμάχετο. Ἀλλ' ὦ
*instead-of honey with-wormwood to-fill(-them) fought but O*
κλύδωνος ἐλεεινοῦ καὶ ναυαγίου πικροῦ. Ἡ μὲν ναῦς ταῖς
*(for)-the-storm pitiable and shipwreck bitter the indeed ship by-the*
τῶν πνευμάτων ἀντιπνοίαις κατερριπίζετο καὶ τοῖς κύμασιν
*of-the winds counterblasts was-tossed and by-the waves*
ἐπεκλύζετο, καὶ ἡμεῖς πάντες καὶ πρὸ τοῦ βυθοῦ τὴν ψυχὴν
*was-flooded and we all even before the depth the soul*
ἀπεφυσῶμεν τοῖς κύμασι καὶ ἤδη ταύτην ἀπετιθέμεθα.
*were-breathing-out to-the waves and already it were-laying-down*
9 Ἡ δέ μοι παρθένος ὅλην ἑαυτὴν ἀπαιωρήσασα τῷ
*the and my maiden whole herself having-hung on-the*
τραχήλῳ μου, ὀδυνηρότερον ἄλλο καὶ βιαιότερον ἐξήγειρέ
*neck my more-painful another and more-violent raised*
μοι κλυδώνιον, ὅλας θαλάσσας δακρύων ἐκκενοῦσα
*for-me storm whole seas of-tears pouring*
τῶν ὀφθαλμῶν καὶ ὅλον με κατακλυδωνίζουσα καὶ
*from-the eyes and whole me overwhelming both*
τῇ γλώσσῃ καὶ τῇ περιπλοκῇ καὶ τοῖς δάκρυσιν
*with-the tongue and with-the embrace and with-the tears*
"Ὑσμινία" λέγουσα, "σῶσον Ὑσμίνην τὴν σήν· πνεῦμα
*Hysminias saying save Hysmine the your (a)-wind*
θρασὺ τῆς σῆς χειρὸς ἀφαρπάζει με· ἀπηνὲς πνεῦμα σήν
*bold from-the your hand snatches me (a)-harsh wind your*
με λαμπάδα ταύτην ἐρωτικὴν ἀποσβέννυσι· μέγα κῦμα
*me torch this amorous quenches (a)-great wave*
θαλάσσης πῦρ ἐρωτικὸν ἐπικλύσαι φιλονεικεῖ. Οὐ πατήρ,
*of-sea fire amorous to-drown strives not father*
οὐ μήτηρ, οὐ πατρίς, οὐ τὰ κατ' οἶκον λαμπρὰ σῆς
*not mother not fatherland not the(-things) in (the)-house splendid of-your*
με φιλίας ἐστέρησε, καὶ νῦν πνεῦμα καὶ κῦμα τῆς σῆς
*me love deprived and now wind and wave from-the your*

χειρὸς ἀφαρπάζει με. Ἔρως ἡμᾶς ἀλλήλοις ἐδουλογράφησε,
*hand snatches me Eros us to-one-another enrolled-as-slaves*
καὶ Ζεὺς ἐν θύμασι τὴν ἁρπαγὴν ὑπηνίξατο· ὁ δέ γε
*and Zeus in offerings the abduction hinted-at the but at-least*
θρασὺς καὶ ἄγριος Ποσειδῶν ὄρη κυμάτων ἐγείρει καὶ
*bold and savage Poseidon mountains of-waves raises and*
πρὸς αἴνιγμα Διὸς ἀντιπνεῖ καὶ ὅλον δουλογραφεῖον
*against (the)-riddle of-Zeus blows and (the)-whole slave-bond*
ἐρωτικὸν ἐκπλύνει τοῖς κύμασιν. Ἔφυγον τὸν πατέρα,
*amorous washes-out with-the waves I-fled the father*
τὸ δὲ ναυάγιον οὐκ ἐξέφυγον· ἔλαθον τὴν μητέρα, σὲ δέ,
*the but shipwreck not I-escaped I-eluded the mother you but*
Πόσειδον, οὐ διέλαθον. Ἀλλ', ὦ μῆτερ, νῦν προσφορώτατόν
*Poseidon not I-eluded but O mother now most-fitting*
σοι τὸ δάκρυον· παρθένος τῶν σῶν ἀπεσυλήθην χειρῶν,
*for-you the tear (a)-maiden from-the your I-was-stolen hands*
καὶ παρθένος εἰς Ἅδου μετακομίζομαι. Τοῦτό σοι καὶ ὁ
*and (a)-maiden to Hades am-carried this to-you also the*
ἀετὸς ὑπηνίττετο. Ναῦς μοι παστὰς καὶ κῦμα τάφος
*eagle hinted (the)-ship my bridal-chamber and (the)-wave tomb*
καὶ πνεύματος ἦχος ὑμέναιος καὶ ἡ νύμφη παρθένος
*and of-wind (the)-sound wedding-song and the bride (a)-maiden*
ἐγώ. Ἀλλ' ὦ καινῆς ταύτης παστάδος, ὦ γάμου
*I but O (for)-strange this bridal-chamber O (for)-marriage*
πικροῦ, ὦ φυγῆς ἀθλίας ἡμῶν. Καπνὸν φεύγοντες εἰς
*bitter O (for)-flight wretched our smoke fleeing into*
πῦρ ἐμπεπτώκαμεν, καὶ πυρὶ τυραννούμενοι θαλάσσαις
*fire we-have-fallen and by-fire tyrannized by-seas*
κατακλυζόμεθα. Ὦ τύχης ἡμῖν ἀπηνὲς πνεούσης καὶ
*we-are-drowned O (for)-fortune on-us harshly blowing and*
ἄγριον καὶ θανατούσης ἡμᾶς καὶ πυρὶ καὶ τοῖς ὕδασι."
*savagely and killing us both by-fire and by-the waters*

10 Ταῦτ᾽ ἔλεγεν ἡ κόρη, καὶ τοὺς μὲν ὀφθαλμοὺς πρὸς
*these(-things) said the girl and the indeed eyes on*
τὰ τῆς θαλάσσης εἶχεν ἐρίζοντας κύματα, τὴν δέ γε
*the of-the sea held contending waves the and at-least*
γλῶσσαν πρὸς τὸν βιαιότατον ἦχον τοῦ πνεύματος, καὶ πρὸ
*tongue against the most-violent roar of-the wind and before*
κλυδωνίου καὶ βυθοῦ καὶ θαλάσσης ὅλην μου κατεκλυδώνιζε
*surge and depth and sea whole my overwhelmed*
τὴν ψυχήν. Ἐγὼ δὲ πρὸς αὐτὴν “Ὑσμίνη παρθένε (ταύτην
*the soul I and to her Hysmine maiden this*
γάρ σοι τὴν κλῆσιν τὸ δαιμόνιον ἐχαρίσατο), εἰς κενὸν
*for to-you the name the divinity granted in vain*
ἡμῖν καὶ φυγὴ καὶ τἆλλ᾽ ὁπόσα μάτην ἐμελετήσαμεν·
*for-us both flight and the-rest as-much-as in-vain we-planned*
ἐμὲ δ᾽ ὄντως Ἔρως κατέπαιζε, καὶ τοὺς ὀνείρους, οὓς
*me and truly Eros mocked and the dreams which*
μοι κατέπλαττεν, ὄντως ὀνείρους ὁρῶ καὶ ὕπνους σαφεῖς·
*for-me he-fashioned truly (as)-dreams I-see and sleep plain*
ὅλους γὰρ κρατῆρας πυρός, οὓς εἰς αὐτήν μοι μέσην
*whole for craters of-fire which into (the)-very my middle*
καρδίαν ἐξέκαυσε, κῦμα θαλάσσης κατασβέσαι φιλονεικεῖ.
*heart he-kindled (a)-wave of-sea to-quench strives*
Ἀλλὰ κἂν ὅλας θαλάσσας ἐρεύξωμαι, οὐ κατασβέσω τὴν
*but even-if whole seas I-belch-forth not I-shall-quench the*
φλόγα, ἣν περὶ τὴν ἐμὴν ταύτην ψυχὴν Ἔρως ἐξ ὕλης
*flame which in the my this soul Eros from (the)-fuel*
Ὑσμίνης ταύτης ἀνέφλεξε. Καὶ συμπλακήσομαί σοι,
*of-Hysmine this kindled and I-shall-be-entwined with-you*
παρθένε, καὶ τοῖς κύμασι συστεφανωθήσομαι, ὑγράν σοι
*maiden and with-the waves I-shall-be-crowned-together (a)-wet for-you*
παστάδα πηξάμενος. Ἴσως καὶ Ποσειδῶν ἐλεήσει τὴν
*bridal-chamber having-built perhaps even Poseidon will-pity the*

συμπλοκήν. Ὄντως ναῦς αὕτη νεκροπομπὸς εἰς Ἅδου
*embrace truly (the)-ship this (a)-conveyer-of-the-dead to Hades*
μετάγουσα, ὄντως παστὰς Ἀμφιτρίτης καὶ Περσεφόνης
*carrying truly (a)-bridal-chamber of-Amphitrite and of-Persephone*
νυμφών, ὄντως μυθευομένη Σειρήν."
*bride-chamber truly storied Siren*
Ἡ δέ μοι κόρη φησὶν "ἀρὰ μητρὸς κατεπεγείρει 11
*the and my girl says (the)-curse of-(my)-mother rouses-against*
μοι τὸ κλυδώνιον· χεῖρες μητρὸς εἰς οὐρανὸν αἰρόμεναι
*me the storm (the)-hands of-mother to heaven raised*
πρὸς βυθὸν ὠθοῦσιν ἡμᾶς καὶ ὅλους καταποντίζουσιν. Ὦ
*to (the)-depth thrust us and wholly sink O*
γλῶσσα μητρὸς ἡμᾶς κατακλύζουσα, ὦ χεῖρες ἐκείνης ὅλας
*tongue of-mother us drowning O hands of-her whole*
θαλάσσας ταύτας ταράττουσαι, ὦ ζέσις ψυχῆς ἐκείνης τὰς
*seas these stirring-up O boiling of-soul of-her the*
ἡμετέρας ταύτας παντελῶς καταψύχουσα· ἤδη γὰρ κατὰ
*our these(-souls) utterly chilling already for according-to*
τὴν ποίησιν Ἀΐδαο γευόμεθα κρυεροῦ. Ἀλλ', ὦ μῆτερ,
*the poetry of-Hades we-taste chilly but O mother*
ἐπίσχες τὴν γλῶσσαν, ἵνα καὶ Ποσειδῶν τὸ κλυδώνιον·
*restrain the tongue that also Poseidon the storm*
σύσχες τὰς χεῖρας, ἵνα τῶν κυμάτων ἀπολυθῶμεν ἡμεῖς·
*hold the hands that from-the waves may-be-released we*
φείσαι τῶν ἡμετέρων ψυχῶν· στῆσον τὸ δάκρυον, ἵν'
*spare the our souls stop the tear that*
ἐξάξῃς ἡμᾶς ἀπὸ ζάλης, ἀπὸ κυμάτων, ἀπὸ σάλου
*you-may-lead-out us from squall from waves from swell*
καὶ κλύδωνος." Καὶ πρός μέ φησιν "ἰδού μοι τὰ τῶν
*and surge and to me says behold for-me the of-the*
συνθηκῶν πέρας δέχεται· σὺν σοὶ θανοῦμαι, τοῦτό μοι
*pacts fulfillment receive with you I-shall-die this (is)-my*

παραμύθιον· οὕτω μοι καὶ τὸ ζῆν ποθητὸν καὶ τὸ θανεῖν
*consolation thus for-me both the to-live desirable and the to-die*
οὐκ ἀνέραστον." Οὕτω μὲν οὖν ἡμεῖς καὶ πρὸ τοῦ θανάτου
*not unlovely thus indeed then we even before the death*
συναπεθνήσκομεν καὶ τὰς ψυχὰς πρὸς Ἅδου μετεβιβάζομεν
*died-together and the souls to Hades transferred*
καὶ παρθένους ἐφυσῶμεν αὐτάς, ἐλευθέρας ἐξ ἀρετῆς καὶ
*and (as)-maidens breathed-out them free by virtue and*
δούλας ἐξ ἔρωτος καὶ δοχεῖα μεστὰ τῶν ἐξ ἔρωτος.
*slaves by love and vessels full of-the(-things) from love*
12 Ὁ δέ γε κυβερνήτης φησὶν "ἄνδρες συμπλωτῆρες, ἄνδρες
*the and at-least helmsman says men fellow-sailors men*
συγκλυδωνιζόμενοι καὶ συναποθνήσκοντες, τὸ πνεῦμα θρασὺ
*tossed-together and dying-together the wind (is)-bold*
καὶ τὸ κῦμα πυκνὸν καὶ μέχρι νεφῶν ἀνυψούμενον· τὸ
*and the wave dense and up-to (the)-clouds rising the*
ἱστίον διέρρηκται, τὸ σκάφος ὑδάτων θαλάσσης μεστόν, ἐμοὶ
*sail has-been-torn the hull of-waters of-sea full to-me*
δ' οὐκέτι σθένος ἀντέχειν πρὸς τοσοῦτον ὄγκον θαλάσσης
*and no-longer (is)-strength to-hold-out against so-great (a)-mass of-sea*
καὶ βιαιότητα κλύδωνος καὶ πνευμάτων ἀντίπνοιαν. Ἅλις
*and violence of-surge and of-winds counterblast enough*
μοι τῶν ναυμαχημάτων· ὅλος καθ' ἡμῶν Ποσειδῶν. Τί
*for-me of-the sea-battles wholly against us Poseidon why*
μὴ κατὰ τὸν νηίτην νόμον (καὶ κλῆρος ὁ νόμος)
*not according-to the seamen's law and (the)-lot (is)-the law*
χοὰς ἱκετηρίους σπενδόμεθα καὶ τὸ θῦμα κληρούμεθα;"
*libations suppliant do-we-pour and the victim choose-by-lot*
Ταῦθ' ὁ κυβερνήτης ἔλεγε καὶ λέγων ἐδάκρυεν, ἡμεῖς δ'
*these(-things) the helmsman said and saying wept we and*
ἐπὶ τὸν κλῆρον, κακῷ τὸ κακὸν θεραπεύοντες. Καὶ κλῆρος
*to the lot with-evil the evil curing and (the)-lot*

ἐπὶ τὴν Ὑσμίνην θανάτου, καὶ καινὸν πῦρ καὶ ἱερεὺς
*upon — Hysmine of-death and strange fire and priest*
καὶ βωμὸς αὐτοσχέδιοι· ἡ θάλασσα πῦρ καὶ τὸ κῦμα
*and altar improvised the sea (the)-fire and the wave*
βωμὸς καὶ ἱερεὺς ὁ καλὸς κυβερνήτης, ὁ τὸν νηίτην
*(the)-altar and priest the fine helmsman the(-one) the seamen's*
νόμον τιμῶν, θῦμα δ' (ἀλλὰ μή μοι, καρδία, ῥαγῇς)
*law honoring (the)-victim and but not for-me heart break*
Ὑσμίνη παρθένος, ἣν ὅλην συμπλακεὶς καὶ περιπλακεὶς
*Hysmine (the)-maiden whom whole having-entwined and having-embraced*
ὁ πολύτλας ἐγὼ πρὸς τὸν τοῦ σκάφους κατέδυν πυθμένα.
*the much-enduring I to the of-the hull sank bottom*
Ὁ δέ γε Κρατισθένης κατεδυσώπει τὸ ναυτικὸν 13
*— and at-least Kratisthenes entreated the crew*
"φείσασθε" λέγων "κάλλους παρθενικοῦ καὶ νεότητος·"
*spare saying beauty maidenly and youth*
ἀλλ' ἡ κατὰ τὴν τραγῳδίαν καὶ πυρὸς κρείττων ἀναρχία
*but the according-to the tragedy even than-fire stronger anarchy*
ναυτικὴ μικροῦ δεῖν καὶ τὸν Κρατισθένην παρεδίδου τοῖς
*nautical by-little to-lack even — Kratisthenes handed-over to-the*
κύμασι καὶ τὴν Ὑσμίνην ἀπέσπα μου τῶν χειρῶν. Ὁ
*waves and — Hysmine tore from-my the hands the*
δέ γε κυβερνήτης ἐν ἀλλοτρίαις φιλοσοφῶν συμφοραῖς
*and at-least helmsman in others' philosophizing misfortunes*
ἀπεφοίβαζε "καὶ Χρυσηὶς ἀπεσπᾶτο χειρῶν Ἀγαμέμνονος
*prophesied also Chryseis was-torn from-hands of-Agamemnon*
βασιλέως· ἀλλὰ μῆνις Ἀπόλλωνος ἐμαλάσσετο, καὶ
*king but (the)-wrath of-Apollo was-softened and*
λοιμοῦ στρατὸς ἀπηλλάσσετο· τοίνυν καὶ ταύτην ἡμεῖς
*from-plague (the)-army was-freed therefore also her we*

τῷ ἡμετέρῳ θεῷ καταθύσωμεν καὶ ὅλην τοῖς κύμασι
*to-the our god let-us-sacrifice and whole in-the waves*
καταδύσωμεν καὶ ψυχὰς ἡμετέρας ἀπὸ κλύδωνος σώσωμεν."
*let-us-sink and souls our from surge let-us-save*
14 Ταῦθ' ὁ μεγαλίστωρ κυβερνήτης ἐφ' ὑψηλοῦ καθήμενος
*these(-things) the greatly-learned helmsman on high sitting*
ἐρρητόρευεν· ἀλλ' οὐκ ἀπεσπᾶτό μου τῶν χειρῶν ἡ
*orated but not was-torn from-my the hands the*
παρθένος, "ἢ τὰν ἢ ἐπὶ τὰν" κατὰ Λάκαιναν ἐν
*maiden either it or upon it like (a)-Laconian(-woman) on*
ἀσπίδι γνωματευομένου· καὶ ἦν ὅλος ἄρης ἡ ναῦς καὶ
*(a)-shield of-(one)-pronouncing and was wholly war the ship and*
κλύδων πολυειδής. Ὁ μὲν δὴ τῆς θαλάσσης σάλος
*surge many-shaped the indeed truly of-the sea swell*
ἐφιλονείκει τὴν ναῦν εἰς βυθὸν καὶ πυθμένα θαλάσσης
*strove the ship to (the)-depth and bottom of-sea*
καταγαγεῖν, τὸ δέ γε ναυτικὸν ἐκ τοῦ πυθμένος τοῦ
*to-bring-down the and at-least crew from the bottom of-the*
σκάφους καὶ χειρῶν τούτων ἐμῶν τὴν κόρην μεθείλκοντο·
*hull and hands these my the girl dragged*
αἱ δέ μου χεῖρες κατὰ τὴν Ἀβραδάτου τῇ κόρῃ
*the and my hands like the(-hand) of-Abradatas with-the girl*
συνείποντο, καὶ ὅλος ἐγὼ συμμεθειλκόμην τοῖς ἕλκουσι
*went-along and wholly I was-dragged-along with-those dragging*
καὶ κατεδυσώπουν συμπαραδοῦναί με τῷ βυθῷ καὶ
*and entreated to-hand-over-too me to-the depth and*
συνθῦσαι τοῖς κύμασιν. Οἱ δ' ἐλεοῦντες ἐπείθοντο, ἢ
*to-sacrifice-too to-the waves they and pitying were-persuaded or*
μᾶλλον ἠλέουν μὴ πείθοντες· ἀλλ' ὁ τὰ πάντα
*rather pitied not persuading but the in-the(-things) all*
σοφὸς κυβερνήτης καὶ πάλιν κατεφιλοσόφει, καὶ πάλιν
*wise helmsman also again philosophized and again*

κατερρητόρευε "Ποσειδῶν" λέγων "τὴν κόρην ζητεῖ· ἐπὶ
*orated Poseidon saying the girl seeks upon*
ταύτην ὁ κλῆρος· αὕτη θῦμα καὶ λύτρον τῶν ἡμετέρων
*her the lot she (the)-victim and ransom of-the our*
ψυχῶν· ἀποσπασθήτω τῶν τούτου χειρῶν, διαρραγήτω
*souls let-her-be-torn from-the of-him hands let-her-be-ripped*
τῶν ὠλενῶν, παραδοθήτω τῷ βυθῷ καὶ τοῖς κύμασι."
*from-the arms let-her-be-handed-over to-the depth and to-the waves*
Τοίνυν ἀποσπᾶταί μου τῶν χειρῶν ἡ παρθένος, 15
*therefore is-torn from-my the hands the maiden*
ἀποδύεται τὸν χιτῶνα καὶ ταῖς τοῦ κυβερνήτου χερσὶ
*is-stripped-of the tunic and to-the of-the helmsman hands*
γυμνὴ παρατίθεται· ὁ δὲ τὰ πάντα σοφὸς καὶ
*naked is-handed-over the and in-the(-things) all wise both*
κυβερνήτης καὶ ἱερεὺς καὶ θύτης καινὸς τὴν κόρην λαβὼν
*helmsman and priest and sacrificer strange the girl having-taken*
καὶ ὅλους τοὺς ὀφθαλμοὺς τοῖς κύμασιν ἐμβαλὼν καὶ
*and wholly the eyes on-the waves having-cast and*
"τοῦτό σοι θῦμα, δέσποτα Ποσειδῶν, καὶ λύτρον" εἰπὼν
*this to-you (a)-victim lord Poseidon and ransom having-said*
(ἀλλὰ μή μοι τὸ τῶν ὀδόντων ἔρκος ἐκφύγῃς, ψυχή)
*but not to-me the of-the teeth barrier escape soul*
τῆς νεὼς τὴν κόρην ἐξεσφενδόνησε καὶ ὅλην ἀφῆκε
*from-the ship the girl hurled and wholly gave-up*
τοῖς κύμασιν· ἐγὼ δ' ὅλην τὴν φωνὴν καὶ αὐτὴν τὴν
*to-the waves I and whole the voice and itself the*
ψυχὴν συναφῆκα τῇ κόρῃ καὶ ὅλην τὴν ναῦν ἐφιλονείκουν
*soul let-go-with the girl and whole the ship strove*
κατακλύσαι τοῖς δάκρυσιν "Ὑσμίνη" λέγων "Ὑσμίνη."
*to-flood with-the tears Hysmine saying Hysmine*

16 Ἡ δ’ ὅλον ὥσπερ καταπιοῦσα τὸν κλύδωνα καὶ ὅλας
*it and whole as-if having-swallowed the surge and whole*
ἐξερευξαμένη θαλάσσας καὶ ὥσπερ τις ἄμπωτις ὅλους
*having-belched-forth seas and like some ebb-tide whole*
ἀνέμους ἀναρροφήσασα νηνεμίαν τῇ θαλάσσῃ παρέσχε
*winds having-sucked-back calm to-the sea gave*
καὶ γαλήνην ἐκ σάλου καὶ κλύδωνος· ἐμὴν δὲ ψυχὴν
*and stillness from swell and surge my but soul*
ὅλην κατεκύκα καὶ ὅλην ἐτάραττε· καὶ τὸ μὲν δὴ
*whole stirred-up and whole troubled and the indeed truly*
ναυτικὸν σὺν αὐτῷ κυβερνήτῃ γλυκάζον ἔαρ ἐδρέποντο
*crew with (the)-very helmsman sweet spring were-plucking*
καὶ ἡδονῆς ποτήριον ἔπινον ἐξ οὕτω πικροτάτου καὶ
*and of-pleasure (a)-cup drank from so most-bitter both*
σάλου καὶ χειμῶνος καὶ κλύδωνος· ἐγὼ δὲ κόνδυ πικρίας
*swell and storm and surge I but (a)-cup of-bitterness*
καὶ ἀψινθίου θαλάσσας ὅλας ἐκπεπωκὼς καὶ ὅλας
*and of-wormwood seas whole having-drunk-up and whole(-seas)*
τοῦ στόματος ἐκκενῶν καὶ αὐτῶν ὀφθαλμῶν ὅλην
*from-the mouth pouring-out and from-(the)-very eyes whole*
ἧμην κατακλυδωνίζων τὴν ναῦν, καὶ ἄλλον σάλον ἐγείρων
*was flooding the ship and another swell raising*
καὶ δεύτερον κλύδωνα· ὃν δὴ μὴ φέρων ὁ κυβερνήτης,
*and (a)-second surge which indeed not bearing the helmsman*
ἀλλ’ οἰωνὸν οὐκ ἀγαθὸν τὸν θρῆνον οἰόμενος, περὶ τὴν
*but (an)-omen not good the lament thinking to the*
χέρσον ἄγει τὴν ναῦν καί με τῆς νεὼς ἐξεφόρτωσεν.
*shore brings the ship and me from-the ship unloaded*
17 Ἐγὼ δὲ τῇ ψάμμῳ καὶ τῇ θαλάσσῃ παρακαθήμενος
*I and by-the sand and the sea sitting*
ὅλην ἐξετραγῴδουν τὴν συμφοράν, χοὰς ἐπιτυμβίους τῇ
*whole lamented the misfortune libations funeral to-the*

κόρῃ κατασπενδόμενος, “Ὑσμίνη” λέγων “Ὑσμίνη, φῶς
*girl pouring Hysmine saying Hysmine light*
ἀπορρυέν μου τῶν ὀφθαλμῶν, ὄρνις ἀποπτᾶσά μου
*flowed-away from-my the eyes bird flown-away from-my*
τῶν χειρῶν (ὦ ναυαγίου πικροῦ καὶ κλύδωνος ἐλεεινοῦ,
*the hands O (for)-shipwreck bitter and surge pitiable*
ὦ γαλήνης μοι πικροτέρας καὶ κλύδωνος), σὺ μὲν
*O (for)-calm to-me more-bitter even than-surge you indeed*
ἀπήχθης τῷ σάλῳ καὶ τῷ ῥοθίῳ τοῦ κύματος, ἐμοῦ
*were-carried-off by-the swell and the rush of-the wave my*
δὲ κατεβάπτισας τὴν ψυχὴν ὅλαις θαλάσσαις κωκυτῶν
*but you-drowned the soul with-whole seas of-wailings*
περικλύσασα· καὶ σὺ μὲν ψυχὴν παρθένον ἐφύσησας, ὅλη
*having-flooded-around and you indeed (a)-soul maiden breathed-out wholly*
στεφανωθεῖσα τοῖς ὕδασιν, ἐμοῦ δὲ τὴν κεφαλὴν καὶ ψυχὴν
*crowned with-the waters my but the head and soul*
ἐλεεινῶς ἐστεφάνωσαν ὀδύναι καὶ γόοι καὶ δάκρυα· θάλαμός
*pitiably crowned pains and groans and tears chamber*
σοι καὶ τάφος ἡ θάλασσα καὶ θαλαμηπόλος ἐγώ· οὐκ
*for-you and tomb the sea and chamberlain I not*
ἐπιθαλάμιον ᾄσω σοι, οὐκ ἐπικροτήσω γαμήλιον, ἀλλ’
*(a)-bridal-song I-will-sing for-you not I-will-clap (a)-wedding-song but*
ὡς ἐν κενηρίῳ τῇ ψάμμῳ πικρὰς ἐπιθανατίους πλέξω σοι
*as in (a)-cenotaph in-the sand bitter death will-weave for-you*
τὰς ᾠδὰς καὶ ὅλον χορὸν Νηρηίδων συγκαλεσάμενος ὅλον
*the songs and (a)-whole chorus of-Nereids having-summoned whole*
κατατραγῳδήσω μου τὸ δυστύχημα. Ὦ κῦμα θαλάσσης
*shall-lament my the misfortune O wave of-sea*
ὅλην μου καταπικραῖνον τὴν αἴσθησιν, ὦ κλύδων ὅλον
*whole my embittering the sense O surge whole*
νυμφῶνα καὶ νύμφην αὐτὴν κατεπικλύσας τοῖς κύμασιν,
*bride-chamber and bride herself having-flooded with-the waves*

ὦ δυστυχημάτων ἐμῶν, ὦ τύχης ὅλης ἀντιπνεούσης
*O (for)-misfortunes my O (for)-fortune wholly blowing-against*
ἡμῖν, ὦ φαρέτρας ἐκείνης, ἥν μοι κατὰ καρδίας Ἔρως
*us O (for)-quiver that which my against heart Eros*
ἐκένωσε. Φεῦ ἀφροδισίου πυρός, οὗ μοι κρατῆρας ὅλους
*emptied alas (for)-amorous fire of-which in-me craters whole*
Ἔρως ἀνῆψε κατὰ ψυχῆς. Ἀλλ', ὦ βασιλεῦ Ἔρως, πάντων
*Eros kindled in soul but O king Eros than-all*
θεῶν βιαιότερε, ὦ ψυχὰς κατατυραννῶν, ὦ βέλος πέμπων
*gods more-violent O souls tyrannizing O dart sending*
καὶ τοῖς ὀφθαλμοῖς συμμεθελκόμενος καὶ τὰς ψυχάς, ὦ
*and with-the eyes drawing-off also the souls O*
σπλάγχνα φλέγων καὶ ὅλας καρδίας καταπιμπρῶν· ὦ
*hearts burning and whole hearts consuming O*
βασιλεῦ ὀνείρων, εἰ δ' οὐχὶ πάντων, ἀλλὰ μόνων ψευδῶν,
*king of-dreams if and not of-all but only (of)-false(-ones)*
οὗτος ὁ θρασὺς ἐλέγχει σε Ποσειδῶν. Ὁπλίτην εἶδόν
*this the bold refutes you Poseidon (an)-armed(-one) I-saw*
σε, καὶ τοῖς βέλεσι τέτρωμαι· πυρφόρον, καὶ ὅλην
*you and by-the darts I-have-been-wounded fire-bearing and whole*
τὴν ψυχὴν καταπέφλεγμαι· πτερωτόν, καὶ τὸ πτερὸν οὐκ
*(in)-the soul I-have-been-burned winged and the wing not*
ἐξέφυγον. Ἀλλ' ἤδη σοι καιρὸς καὶ τῇ γυμνώσει τοῦ
*I-escaped but now for-you (it-is)-time also the nakedness of-the*
σώματος χρήσασθαι καθ' ὅλης Ἀμφιτρίτης καὶ Ποσειδῶνος
*body to-use against whole Amphitrite and Poseidon*
αὐτοῦ· οὗτοι τὴν παρακαταθήκην, ἥν μοι παρέθου,
*himself these the deposit which to-me you-entrusted*
βασιλεῦ, σεσυλήκασι, τὴν σὴν Ὑσμίνην, ἥν μοι παρέθου
*king have-plundered the your Hysmine whom to-me you-entrusted*
ταύτῃ τῇ δεξιᾷ· οὗτοί μοι τὸν θησαυρὸν ἐληίσαντο·
*with-this the right(-hand) these from-me the treasure plundered*

σὺ δ' ἀλλ' ἀπόθου τὸ πῦρ καὶ τὰ τόξα καὶ τὸ πτερόν·
*you and but put-off the fire and the bows and the wing*
εἰ δὲ μὴ βούλει, περίθου καὶ κατάδυθι πρὸς βυθὸν καί
*if and not you-wish put(-them)-on and dive to (the)-depth and*
μοι τὴν Ὑσμίνην ἀνάγαγε, τὴν Ὑσμίνην, ἧς μόνον
*for-me — Hysmine bring-up — Hysmine of-whom only*
ἐπιμνησθεὶς ὅλα πυρπολοῦμαι τὰ σπλάγχνα καὶ ὅλην
*having-thought whole I-am-burned (in)-the entrails and whole*
τὴν ψυχὴν κατακαίομαι. Ἀλλ' ὦ τῶν ἐν ὀνείροις ἐκείνων
*(in)-the soul am-consumed but O (for)-the in dreams those*
τερπνῶν, τῶν φιλημάτων, τῶν γαργαλισμάτων, τῶν
*delights the kisses the ticklings the*
συμπλοκῶν, τῶν περιπλοκῶν καὶ τῶν ἄλλων ἐρωτικῶν.
*entwinings the embraces and the other amorous(-things)*
Βαβαὶ τῶν ὀνείρων, οἷς ἠνδραπόδισμαι. Ὄνειροι πάντως
*ah for-the dreams by-which I-have-been-enslaved dreams surely*
καὶ ὕπνος, ὄντως κατάγελως. Ὦ Ζεῦ θεῶν ἀληθέστατε,
*and sleep truly (a)-mockery O Zeus of-gods most-truthful*
ὄντως σὸς οἰωνὸς ἐκεῖνος ἀπαισιώτατος ὅλον μοι τὸ
*truly your omen that most-ill-omened whole to-me the*
μέλλον τοῦτο καθαρῶς αἰνιττόμενος· ἰδοὺ γὰρ Ὑσμίνη
*future this clearly hinting behold for Hysmine*
παρθένος ἐλεεινῶν μοι τούτων χειρῶν βιαίως ἀπέσπασται.
*(the)-maiden pitiable my these hands violently has-been-torn-from*
Ἀλλ', ὦ κόρη, τῶν συνθηκῶν σοι κατέψευσμαι· σὺν σοὶ
*but O girl the pacts to-you I-have-broken with you*
τεθνάναι θεοὺς αὐτοὺς διεμαρτυράμην σοι καί σοι
*to-die (the)-gods themselves I-called-to-witness to-you and with-you*
τοῦτο τὸ θανάσιμον συμμερίσασθαι· νῦν δὲ σὲ μὲν σκότος
*this the death to-share now but you indeed darkness*
καλύπτει καὶ κῦμα πρότερον ἐλεεινῶς κατεπέκλυσεν,
*covers and (the)-wave earlier pitiably overwhelmed*

ἐγὼ δὲ φῶς ὁρῶ, καὶ τοῖς κύμασι παρακάθημαι. Σὺ μὲν
*I but light see and by-the waves sit you indeed*
πρὸς Ἅδην, ἐγὼ δὲ πρὸς γῆν· μέμυκέ σου τὸ στόμα, τὸ
*to Hades I but to earth has-closed your the mouth the*
σίμβλον τοῦ μέλιτος, τὸ δ' ἐμὸν τοῦτο στόμα πλατυνθὲν
*hive of-the honey the but my this mouth widened*
ἐξ ὀδύνης κατατραγῳδεῖ σοι τὸν ἐξιτήριον καὶ ὡς ἐκ
*from pain laments for-you the funeral-song and as from*
κέντρου σῆς μελίσσης πληγὲν φλεγμαίνει τοῖς πάθεσι·
*(the)-sting of-your bee struck swells with-the sufferings*
καὶ σὺ μὲν ἀμνηστίας ἴσως ἐπεγκαλέσεις ἡμῖν, ἡμεῖς
*and you indeed of-forgetfulness perhaps will-accuse us we*
δέ σου τὴν μνήμην ὥσπερ συμψυχώσαντες ἑαυτοῖς σὺν
*but your the memory as-if having-ensouled-together with-ourselves with*
αὐτῇ ψυχῇ καὶ ταύτην φυσήσωμεν, ἢ μᾶλλον καὶ μέχρις
*(the)-very soul also it let-us-breathe-out or rather even to*
Ἅδου συγκαταγάγωμεν καὶ μέχρι τοῦ τῆς λήθης κρατῆρος
*Hades let-us-bring-down-with(-us) and to the of-the oblivion bowl*
αὐτοῦ θρηνοῦντες πικρόν, ἐλεεινόν, ἀναπόνιπτον."
*itself lamenting bitterly pitiably unwashably*
Ταῦτ' ἔλεγον, καί μου τῶν ὀφθαλμῶν ἀπέρρει
*these(-things) I-said and from-my the eyes flowed*
τὸ δάκρυον καὶ κατὰ θάλασσαν ἐξεχεῖτο καὶ πυκνῶς
*the tear and like (a)-sea poured and thickly*
κατεκυματοῦτο καὶ ὅλον με κατεπέκλυζεν.
*billowed and whole me flooded*
18 Ἐν μέσοις δὴ τούτοις ὕπνος λαθὼν ἐμπίπτει μου τοῖς
*in (the)-midst indeed of-these sleep unnoticed falls on-my the*
ὀφθαλμοῖς καί με πρὸς ἑαυτὸν ὅλον ἐφέλκεται· καὶ πάλιν
*eyes and me to itself wholly draws and again*
Ἔρως ἐφίσταται διὰ νυκτὸς ὑπνουμένῳ μοι. Καὶ ἦν
*Eros appears through night sleeping to-me and it-was*

Ἔρως ὄντως ἐκεῖνος ὁ γεγραμμένος εἰς Αὐλικώμιδα, καί
*Eros truly that the(-one) painted in Aulikomis and*
μοί φησιν "Ὑσμινία, χαίροις·" ἐγὼ δ' "ἀλλ' οὐ χαρτὰ
*to-me says Hysminias rejoice I and but not joyful(-things)*
πάσχω· τὴν γάρ μοι παρακαταθήκην, ἣν ταῖς χερσί μου
*I-suffer the for to-me deposit which to-the hands my*
ταύταις παρέθου, τὴν σὴν Ὑσμίνην καὶ παρθένον ἐμήν, οὗτος
*these you-entrusted the your Hysmine and maiden my this*
ὁ θρασὺς Ποσειδῶν ἐλεεινῶν τούτων ἐμῶν ἀγρίως ἀφαρπάζει
*the bold Poseidon pitiable these my savagely snatches-from*
χειρῶν, ὅλην κυκήσας θάλασσαν, ὅλον ἐγείρας κλυδώνιον.
*hands whole having-stirred sea whole having-raised storm*
Ἀλλ', ὦ βασιλεῦ Ἔρως, ὅλον σοι γένος Ἀμφιτρίτης εἶδον
*but O king Eros whole to-you race of-Amphitrite I-saw*
δουλογραφούμενον καί σου φρίττον τὴν γύμνωσιν. Ὦ
*enrolled-as-slave and your dreading the nakedness O*
βασιλεῦ, ἐκ βυθοῦ καὶ θαλάσσης τὴν Ὑσμίνην ἀνάγαγε,
*king from (the)-depth and sea — Hysmine bring-up*
παρθένον οὕτω καλήν, οὕτως ὡραίαν, οὕτω πνέουσαν ἔρωτος
*(a)-maiden so fair so lovely so breathing of-love*
καί σοι δουλογραφουμένην καί με δουλογραφοῦσαν τὸν
*and to-you enrolled-as-slave and me enrolling-as-slave the*
ἐραστήν. Σοῖς τετρωμένοι βέλεσι, βασιλεῦ, πατρίδων ἡμῶν
*lover by-your wounded darts king from-fatherlands our*
ἀπονάσται γεγόναμεν· σῷ πυρποληθέντες τὰ σπλάγχνα
*exiles we-have-become by-your burned (in)-the entrails*
πυρί, βασιλεῦ, νύκτας ὅλας ἀύπνους ἰαύσαμεν· σῇ
*fire king nights whole sleepless we-spent in-your*
δυνάμει θαρρήσαντες, βασιλεῦ, θαλάσσης ἐπέβημεν, πελάγους
*power having-trusted king on-sea we-embarked (the)-open-sea*
κατετολμήσαμεν. Ἀλλ' ὦ τῆς σῆς δυναστείας εἴτ' οὖν ἐμῆς
*we-dared but O (for)-the your dominion or then (for)-my*

δυστυχίας. Ὅλον Ποσειδῶν ἐγείρει κλυδώνιον, ὅλον θυμὸν
*misfortune (a)-whole Poseidon raises storm whole anger*
κατὰ θαλάσσης κενοῖ, ὅλην τὴν ναῦν φιλονεικεῖ καταβαπτίσαι
*upon (the)-sea empties whole the ship strives to-sink*
τοῖς κύμασι, καὶ τὴν Ὑσμίνην (ἧς φείσαι, βασιλεῦ Ἔρως)
*in-the waves and — Hysmine whom spare king Eros*
ὅλῃ θρασείᾳ χειρὶ (βαβαὶ) τούτων τῶν ἐμῶν ἀθλίων
*with-whole bold hand ah these the my wretched*
ἁφαρπάζει χειρῶν. Ἀλλ', ὦ πάντων Ἔρως κρατῶν—"
*snatches-from hands but O over-all Eros ruling*
19 Ὁ δ' ἐπτερύξατο τοῖν ποδοῖν καὶ κατὰ μέσα πελάγη
*he and spread-wings on-the(-two) feet and over (the)-middle seas*
γενόμενος ἐμπίπτει τοῖς κύμασι καὶ χωρεῖ πρὸς βυθὸν καὶ
*having-come falls into-the waves and goes to (the)-depth and*
μετ' οὐ πολύ μοι πάλιν ἐφίσταται τὴν Ὑσμίνην ἀνέχων πρὸ
*after not long to-me again appears — Hysmine holding-up before*
τῶν χειρῶν καὶ ὡς ἐκ θαλάσσης ὑγρὰν καὶ λελουμένην ταῖς
*the hands and as from (the)-sea wet and bathed by-the*
Χάρισι, καὶ ταῖς ἐμαῖς ταύταις χερσὶ παρατίθεται· ἐγὼ δ'
*Graces and to-the my these hands entrusts(-her) I and*
ὡς τὴν Ὑσμίνην λαβὼν ὑφ' ἡδονῆς ἐξανέστην τῶν ὕπνων·
*as — Hysmine having-taken from pleasure leapt-up from-the sleep*
τὰ δ' ἦσαν πάντα καὶ πάλιν ὄνειροι δουλεύοντες Ἔρωτι.
*the(-things) but were all also again dreams serving Eros*

## VIII · SLAVE IN DAPHNEPOLIS

*Ethiopian pirates seize Hysminias, sack a town, and sell its maidens at Artykomis after the test of Artemis' spring and bow: a virgin floats crowned, and against any other the goddess draws her bow. Soldiers fall on the drunken pirates and lead the captives in triumph to Daphnepolis, where Apollo's oracle and the lot give Hysminias to a master whose wife makes him tell his story and then pursues him, while he keeps faith with Hysmine. At Apollo's feast of Daphne his master is chosen herald to Artykomis and, over his wife's objection, thinks to take Hysminias.*

Οὕτω μὲν οὖν μεθ' ἡδονῆς καὶ χαρᾶς ἀνέστην τῶν 1
*thus indeed then with pleasure and joy I-rose from-the*
ὕπνων καὶ ὅλοις τοῖς ὀφθαλμοῖς τὴν Ὑσμίνην ἐζήτουν
*sleep and with-whole the eyes — Hysmine I-sought*
ἰδεῖν, ἡ δ' ἦν οὐδαμοῦ· πλῆθος δ' ὁρῶ περὶ τὴν ψάμμον
*to-see she but was nowhere (a)-throng but I-see on the sand*
καὶ πλῆθος οὐκ εὐαρίθμητον Αἰθιόπων, ἀγρίων ἀνδρῶν,
*and (a)-throng not easily-counted of-Ethiopians savage men*
οὓς ἰδών, νὴ τὴν τῶν ἐμῶν δυστυχημάτων θάλασσαν,
*whom having-seen by the of-the my misfortunes sea*
ὅλος ἐξέστην εὐθὺς καὶ ἤθελον ὄναρ ὁρᾶν· τὸ
*wholly I-was-beside-myself at-once and I-wished (a)-dream to-see it*
δ' ὕπαρ ἦν· ὁρῶσι γάρ με καὶ μεθέλκονται τῶν
*but (a)-waking-vision was they-see for me and drag(-me) by-the*
τριχῶν καὶ περὶ τὴν τριήρη βαρβαρικῶς ὥσπερ τι
*hair and to the trireme barbarously like some*
θήραμα φέρουσι (παρῆν γὰρ ὥσπερ ἀπηωρημένη τῆς
*quarry carry it-was-at-hand for as-if hung from-the*
γῆς ἐν πασσάλοις καὶ πείσμασι) καὶ περὶ τὸν τῆς
*land on pegs and cables and to the of-the*
τριήρους καταγαγόντες πυθμένα τῇ κώπῃ παρακαθίζουσιν.
*trireme having-brought-down hold at-the oar they-seat(-me)*

Ἐπεὶ δ’ ἀποβαίνουσι τῆς γῆς, ὅλα συναγαγόντες τὰ
*when and they-depart from-the land all having-gathered the*
πείσματα κώπαις πτεροῦσι τὴν ναῦν, ὅσας αἱ τριήρεις
*cables with-oars they-wing the ship as-many-as the triremes*
αὐχοῦσι πυκνάς· καὶ περὶ λιμένα γενόμενοι νήνεμον καὶ
*boast dense and at (a)-harbor having-arrived windless and*
λίαν εὐάγκαλον ἐλλιμενίζουσι τὴν τριήρη· καὶ μικρὸν
*very sheltered they-moor the trireme and a-little*
μετασχόντες τροφῆς καὶ ποτοῦ (τὰ δ’ ἦσαν ἄρτος καὶ
*having-partaken of-food and drink the(-things) and were bread and*
ὕδωρ τούτοις ἐπιφερόμενα) πρὸς ὕπνον ἐτράπησαν, περὶ
*water to-them carried to sleep they-turned at*
πρῴραν καὶ πρύμνην ἀνυστάκτους ἀφοσιωσάμενοι φύλακας.
*prow and stern unsleeping having-posted guards*
2 Περὶ δὲ τρίτην φυλακὴν τῆς νυκτὸς ἀναστάντες τῶν
*about and (the)-third watch of-the night having-risen from-the*
ὕπνων κώπαις πάλιν πτεροῦσι τὴν ναῦν καὶ τοῦ λιμένος
*sleep with-oars again they-wing the ship and from-the harbor*
ἐξάγουσι· καὶ περί τι γεγονότες πολίχνιον καὶ σιγῇ τὴν
*lead(-it)-out and at some having-arrived small-town and silently the*
ναῦν προσορμίσαντες καὶ τῶν χειρῶν ταῖς μὲν λαιαῖς
*ship having-moored and of-the hands with-the indeed left*
ἀσπίδας λαβόμενοι, ταῖς δ’ αὖ ἑτέραις δεξιῶς σπασάμενοι
*shields having-taken with-the and again other deftly having-drawn*
φάσγανα καὶ ὅλους ἑαυτοὺς τοῖς ὅπλοις καταφραξάμενοι,
*swords and wholly themselves with-the arms having-armored*
ὡς μέλισσαι κηρίον, ὅλον περιεκύκλωσαν τὸ πολίχνιον.
*as bees (a)-honeycomb whole they-encircled the small-town*
Καὶ θροῦν ἐγείραντες βαρβαρικόν τε καὶ ἄσημον, ἀόπλοις
*and (a)-din having-raised barbarous both and unintelligible on-unarmed*
ὁπλῖται, κοιμωμένοις ἄγρυπνοι κατεπέθεντο σφάττοντες,
*armed on-sleeping wakeful they-fell slaughtering*

ἁρπάζοντες ὡς θῆρες ἀγρίως, ἅπαν κατασπαραττόμενοι
*seizing like beasts savagely whole tearing-apart*
τὸ πολίχνιον καὶ πᾶν τὸ προστυχὸν καταληιζόμενοι σὺν
*the small-town and all the chance(-booty) plundering with*
αὐταῖς γυναιξί, σὺν αὐταῖς παρθένοις, νεανίσκοις, ἀνδράσιν,
*(the)-very women with (the)-very maidens youths men*
ὅσους μὴ πρὸς Ἅδην βαρβαρικὴ μετεβίβασε μάχαιρα.
*as-many-as not to Hades barbarous transferred sword*
Περὶ γοῦν τὴν τριήρη πᾶν τὸ ληισθὲν συναγαγόντες οἱ
*to at-any-rate the trireme all the plundered having-gathered the*
πειραταὶ καὶ τούτοις κατεπιβάντες καὶ συνεπιβάντες
*pirates and on-these having-embarked and having-embarked-with(-them)*
αὐτοὶ μακρὰν τοῦ λιμένος ἀπέβησαν.
*themselves far from-the harbor departed*
Καὶ περὶ μέσα πελάγη γενόμενοι καὶ ὡς ἐν θεμελίοις 3
*and in mid seas having-come and as on foundations*
τοῖς καλωδίοις ὅλην τὴν τριήρη καταπηξάμενοι τὰ σκῦλα
*with-the ropes whole the trireme having-fixed the spoils*
μερίζονται· τούτων δ' ὅσον ἐν ἀνδράσιν, ὅσον
*they-divide of-these and as-much-as among men as-much-as*
ἐν νεανίσκοις, ὅσον ἐν παρθένοις καὶ γυναιξίν,
*among youths as-much-as among maidens and women*
ἀπεδύετο τὸν χιτῶνα καὶ ἦν ἀπερικάλυπτον καὶ μέχρις
*was-stripped-of the tunic and was uncovered even to*
αἰδοῦς καὶ γύμνωσιν καθ' ὅλου φέρον τοῦ σώματος.
*(the)-privates and nakedness over whole bearing the body*
Ὁ μὲν οὖν δὴ πυθμὴν τῆς τριήρους τοὺς νεανίσκους
*the indeed then indeed hold of-the trireme the youths*
καὶ τοὺς ἄνδρας ἐδέχετο, τὰς δέ γε γυναῖκας αἰσχύνη
*and the men received the and at-least women shame*
καὶ βαρβαρική τις ἀσέλγεια· παρθένοις γὰρ οὐκ οἶδ'
*and barbarous a lewdness to-maidens for not I-know*

ὅπως ἢ τίνι νόμῳ βαρβαρικῷ καὶ χιτὼν διερρωγώς τις
*how or by-what law barbarous also (a)-tunic torn some*
ἐπεδιδύσκετο καὶ χεὶρ αὐθάδης οὐκ ἐπετίθετο οὔτε τι
*was-put-on and hand willful not was-laid nor anything*
βαρβαρικὸν ἐπὶ ταύταις αἰσχρῶς κατεπράττετο.
*barbarous upon them shamefully was-done*

4 Οὕτω τοίνυν τὰ μὲν περὶ τὰς γυναῖκας αἰσχρῶς,
*thus therefore the(-things) indeed about the women shamefully*
τὰ δ' ἄλλ' ἀκόσμως οἱ βάρβαροι διακοσμησάμενοι περὶ
*the(-things) and other disorderly the barbarians having-ordered to*
τὸ δεῖπνον ἐτράπησαν· καὶ ἦν ἡ τράπεζα τούτοις πολυτελής,
*the dinner turned and was the table for-them costly*
οὐχ ὡς πρὸ μικροῦ βαρβαρικὴ καὶ παντελῶς ἀφιλότιμος.
*not as before (a)-little barbarous and utterly mean*
Τοῖς μὲν οὖν ἀνδράσιν, ὡς εἴρηται, τῆς τριήρους ὁ πυθμὴν
*to-the indeed then men as has-been-said of-the trireme the hold*
ἀφωσίωται, ταῖς δέ γε παρθένοις ὁ περὶ τὴν πρῴραν
*has-been-assigned to-the and at-least maidens the at the prow*
τόπος ἀφώρισται· αἱ γάρ τοι γυναῖκες τοῖς βαρβάροις
*place has-been-set-apart the for surely women with-the barbarians*
αἰσχρῶς περὶ τὸ δεῖπνον συνανεκλίθησαν. Μετὰ γοῦν δὴ
*shamefully at the dinner reclined after at-any-rate indeed*
πολυτελεῖς, ὡς εἴρηται, τὰς τροφὰς καὶ τὴν αἰσχρὰν ἐκείνην
*costly as has-been-said the foods and the shameful that*
καὶ ὅλην αἵματος τράπεζαν τοὺς μὲν νεανίσκους (ὀλίγοι δ'
*and whole of-blood table the indeed youths few and*
οὗτοι) ταῖς κώπαις παρακαθίζουσιν· ὅσοι δ' ὑπερβεβήκασι
*these at-the oars they-seat as-many-as and have-exceeded*
τούτους (βαβαὶ τῆς τῶν βαρβάρων ἀμειλίκτου ψυχῆς)
*these ah for-the of-the barbarians implacable soul*
ξίφους γεγόνασι παρανάλωμα, καὶ τὰς κεφαλὰς ἐλεεινῶς
*of-sword have-become waste and (as-to)-the heads pitiably*

εἰς θάλασσαν ἐξεσφενδονήθησαν· αἱ δέ γε γυναῖκες
*into (the)-sea were-hurled the and at-least women*
αἰσχρῶς τοῖς βαρβάροις συνανεκλίθησαν· καὶ ἦν ἡ τριήρης
*shamefully with-the barbarians reclined and was the trireme*
πανδοχεῖον πλῆρες αἰσχρότητος καὶ συμπόσιον αἵματος.
*(an)-inn full of-shame and banquet of-blood*
Οὕτω μὲν οὖν εἶχε τὰ τῆς νυκτός· ἐπεὶ δὲ νὺξ 5
*thus indeed then were the(-things) of-the night when and night*
οὐδαμοῦ (ἥλιος γὰρ ὑπὲρ γῆν) καὶ τὸ ζητούμενον φῶς ἡμῖν
*(was)-nowhere (the)-sun for above earth and the longed-for light on-us*
προσεγέλασε καὶ ἦν ἡμέρα τὸ φῶς, ὡς ἐκ παστάδος
*smiled and was day the light as from (a)-bridal-chamber*
ἀνέστη τὸ βάρβαρον, καὶ ἦν ὅλον μεθύον ταῖς ἡδοναῖς καὶ
*rose the barbarian(-crew) and was wholly drunk with-the pleasures and*
βαρβάρῳ φωνῇ καταγλωσσαλγοῦν καὶ οἷον διαλεγόμενον.
*with-barbarous voice chattering and as-it-were conversing*
Μετὰ γοῦν δὴ πολύν τινα θροῦν, ὅσον τὸ ναυτικὸν
*after at-any-rate indeed much some din as-much-as the crew*
ἐγείρει, καὶ μᾶλλον εἰ βάρβαρον, ᾠδή τις ἀλλόθρους καὶ
*raises and more if barbarous song some foreign and*
ἄσημος ἱστίῳ λευκῷ τὴν τριήρη κατεπεκόσμησε, καὶ τὸ
*unintelligible with-sail white the trireme adorned and the*
πνεῦμα πνεῦσαν ἐκ πρύμνης ὅλον τὸ ἱστίον ἐκύρτωσε,
*wind having-blown from (the)-stern whole the sail bellied*
καὶ ἦν ἡ τριήρης ὡς ἵππος εἰς πεδίον κροαίνουσα.
*and was the trireme as (a)-horse into (a)-plain galloping*
Καὶ ἵνα τἀν μέσῳ παρῶ, ὅσα τὸ βάρβαρον 6
*and that the(-things)-in between I-may-pass-over as-much-as the barbarian(-crew)*
κατεκώμαζεν, ὅσα ταῖς γυναιξὶν ἠναιδεύετο, καὶ τἆλλ᾽
*reveled as-much-as to-the women behaved-shamelessly and the-rest*
ὁπόσα βαρβαρικῶς ἀσέμνως ἐστέλλετο, εὐφόρῳ τῷ
*as-much-as barbarously indecently was-done with-favoring the*

πνεύματι περὶ τὴν Ἀρτύκωμιν ἐγενόμεθα καὶ πλῆθος ἐξ
*wind at — Artykomis we-arrived and (a)-throng from*
Ἀρτυκώμιδος ὁρῶμεν περὶ τὴν ἤπειρον. Καὶ μετὰ δὴ
*Artykomis we-see on the mainland and after indeed*
πολλὰς τὰς σπονδάς, ἃς οἶδε τὸ βάρβαρον σπένδεσθαι
*many the truce-rites which knows the barbarian(-crew) to-make*
καὶ ὅσα πειραταὶ πρὸς ἠπειρώτας βαρβαρικῶς
*and as-much-as pirates with mainlanders barbarously*
διαλλάσσονται, δέχεται μὲν ἡ τριήρης ὁμήρους τινάς, ἡ δ'
*negotiate receives indeed the trireme hostages some the and*
ἤπειρος τὸν τῆς τριήρους φόρτον, ὅσον ἐκ τοῦ πολιχνίου
*mainland the of-the trireme cargo as-much-as from the small-town*
τὸ βάρβαρον ἐληίσατο· καὶ ἦν περὶ τὴν ψάμμον πανήγυρις
*the barbarian(-crew) had-plundered and was on the sand (a)-fair*
αὐτοσχέδιος. Ὅσον μὲν οὖν ἐν ἀργύρῳ καὶ χρυσῷ καὶ
*improvised as-much-as indeed then in silver and gold and*
χαλκῷ καὶ σιδήρῳ καὶ χιτωνίσκοις καὶ τοῖς ἄλλοις,
*bronze and iron and tunics and the other(-things)*
ὅσα βαρβαρικὴ καταληίζεται χείρ, τῆς τριήρους
*as-many-as barbarous plunders hand from-the trireme*
ἐξεφορτοῦτο καὶ ὅλον διεπιπράσκετο· τὸ δ' ὅσον τῆς
*was-unloaded and whole was-sold the(-part) but as-much-as of-the*
λείας ἐν ἀνθρώποις ἡμῖν, τῆς τριήρους οὐ μετεκομίσθη
*booty in people us from-the trireme not was-carried*
περὶ τὴν ἤπειρον, ἀλλ' ἐν αὐτῇ τῇ τριήρει κατεπιπράσκετο.
*to the mainland but in itself the trireme was-sold*

7 Καὶ γυναικῶν μὲν καὶ νεανίσκων αἰχμαλώτων ἡμῶν ὀλίγος
*and of-women indeed and youths captive of-us little*
τοῖς ἐξ Ἀρτυκώμιδος λόγος ἢ μᾶλλον οὐδείς, τὸ πᾶν
*to-those from Artykomis account or rather none the(-people) whole*
δ' ἐκεχήνει περὶ τὴν τῶν παρθένων κτῆσιν· αἱ δ' ἦσαν
*but gaped at the of-the maidens purchase they and were*

πολλοῦ τοῖς βαρβάροις τιμώμεναι καὶ πολλοῖς τοῖς ἐξ
*for-much by-the barbarians priced and by-many the from*
Ἀρτυκώμιδος κτώμεναι, μετὰ μέντοιγε τόξον καὶ πηγὴν
*Artykomis bought after however (the)-bow and spring*
τῆς Ἀρτέμιδος, ἣν Ἀρτύκωμις φέρει Ῥῆνον ποταμὸν
*— of-Artemis which Artykomis has (like-the)-Rhine river*
Κελτικόν. Ἱερὸν γὰρ ἐν Ἀρτυκώμιδι περιφανὲς τῆς
*Celtic (a)-temple for in Artykomis famous —*
Ἀρτέμιδος, οὗ μέσον χρυσοῦν Ἀρτέμιδος εἴδωλον, τόξον
*of-Artemis where in-the-middle golden of-Artemis image (a)-bow*
τεῖνον ταῖν χεροῖν, τοῖν δέ γε ποδοῖν πηγὰς
*drawing with-the(-two) hands from-the(-two) and at-least feet springs*
βλύζον κατὰ ποταμὸν ῥεούσας ἐριβρύχην καὶ πολυχεύμονα.
*gushing like (a)-river flowing loud-roaring and abundant*
Ταύτας δὴ τὰς πηγὰς ἀνακαχλάζειν εἴποις ἰδών· ἃ
*these indeed the springs to-bubble-up you-would-say having-seen which*
δή, καὶ τόξον καὶ πηγή, παρθένον ἐλέγχουσι καὶ παρθενικὴν
*indeed both bow and spring (a)-maiden test and maidenly*
ἀποσύλησιν· εἰ γάρ τις περὶ παρθένον διψυχεῖ καὶ ζητεῖ
*despoiling if for anyone about (a)-maiden doubts and seeks*
τὸν ἔλεγχον, ἐπὶ τὴν πηγὴν τὴν παρθένον ἐμβάλλουσι,
*the proof into the spring the maiden they-cast*
τῆς δάφνης αὐτὴν στεφανώσαντες. Εἰ μὲν οὖν ἡ τὴν
*with-the laurel her having-crowned if indeed then the the*
πηγὴν εἰσδῦσα παρθένος τὴν παρθενίαν οὐκ ἔψευσται καὶ
*spring having-entered maiden the maidenhood not has-belied and*
τὸ σεμνὸν οὐκ ἀποσεσύληται, τὸ τόξον Ἄρτεμις οὐ τείνει,
*the honor not has-been-despoiled the bow Artemis not draws*
τὸ ὕδωρ ἠρεμεῖ, καὶ ἡ παρθένος κούφως τοῖς ὕδασι
*the water is-still and the maiden lightly on-the waters*
φέρεται, τῷ τῆς δάφνης στεφάνῳ κατακεκοσμημένη τὴν
*is-borne with-the of-the laurel crown adorned (on)-the*

κεφαλήν· εἰ δ' Ἀφροδίτης πνεῦμα παρθενικὴν λαμπάδα
*head if but of-Aphrodite (a)-breath maidenly torch*
κατέσβεσε καὶ λαθὼν Ἔρως τὴν παρθενίαν ὑπέκλεψε, τείνει
*quenched and unnoticed Eros the maidenhood stole draws*
τὸ τόξον Ἄρτεμις, παρθένος θεά, κατὰ τῆς μὴ παρθένου,
*the bow Artemis virgin goddess against the not maiden*
τῆς ἐψευσμένης αὐτήν, καὶ βάλλειν δοκεῖ κατὰ τῆς
*the(-one) having-belied it and to-shoot seems at the*
κεφαλῆς· ἡ δὲ φρίσσει τὸ βέλος, τὴν κεφαλὴν τοῖς ὕδασιν
*head she and dreads the arrow the head in-the waters*
ὑποκρύπτεται, τὸ ὕδωρ ἀνακαχλάζον ὑφαιρεῖ τὸν στέφανον.
*hides the water bubbling-up removes the crown*
Πᾶν οὖν ὅσον τοῖς βαρβάροις ἐδασμολογήθη παρθενικόν,
*all then as-much-as by-the barbarians was-taken-as-tribute maidenly*
ἐκ δάφνης στεφανωθὲν τῇ πηγῇ κατεβάπτετο· καὶ ὅσον
*with laurel crowned in-the spring was-dipped and as-much-as*
μὲν οὐ κατέδυ τὴν κεφαλήν, ὅσον οὐκ ἀφῃρέθη τὸν
*indeed not sank (in)-the head as-much-as not was-deprived-of the*
στέφανον, ἠργυρολογήθη πολλοῦ· ὅσον δὲ τὴν παρθενίαν
*crown was-sold for-much as-much-as but the maidenhood*
κατέψευστο, τὴν τριήρη κατεκληρώσατο καὶ ταῖς γυναιξὶ
*had-belied the trireme was-allotted and with-the women*
συνηρίθμητο, καὶ χρυσοῦ χαλκὸν ἀντηλλάξατο, τοῦ τῆς
*was-counted and for-gold bronze exchanged for-the of-the*
δάφνης παρθενικοῦ στεφάνου παστάδα βαρβαρικήν.
*laurel maidenly crown (a)-bridal-chamber barbarous*
8 Οὕτω μὲν οὖν εἶχε τὰ περὶ τὴν Ἀρτύκωμιν, καὶ
*thus indeed then were the(-things) at — Artykomis and*
οὕτω τῆς τριήρους ἐξεφορτώθη τὰ λάφυρα· καὶ πάλιν ἡ
*thus from-the trireme were-unloaded the spoils and again the*
τριήρης τοῖς συνήθεσι κατεπτεροῦτο πτεροῖς, καὶ πάλιν τὸ
*trireme with-the usual was-winged wings and again the*

βάρβαρον ἐφ' ἑτέραν ἐστέλλετο· καὶ ἡμεῖς δοῦλοι βαρβάρων
*barbarian(-crew) to another set-out and we slaves of-barbarians*
ἐξ ἐλευθέρων εἱλκόμεθα. Περὶ δὲ τρίτην ἡμέραν ἐπί τινα
*from free were-dragged about and (the)-third day at some*
λιμένα καταίρομεν ἕτερον, καὶ τὴν τριήρη περὶ τὴν ἤπειρον
*harbor we-put-in other and the trireme to the mainland*
μεθελκυσάντων ἡμῶν καὶ ὅλην ταύτην ἐξαψαμένων τοῖς
*having-dragged we and whole it having-fastened with-the*
πείσμασιν ὅλον τῆς νεὼς ἐξέπτη τὸ βάρβαρον καὶ περὶ τὴν
*cables whole from-the ship flew-out the barbarian(-crew) and on the*
ψάμμον ἐγένετο καὶ τὰς γυναῖκας συμμεθειλκύσατο καὶ ὅλην
*sand went and the women dragged-along and (a)-whole*
σκηνὴν ἐγγὺς κυμάτων ἐπήξατο καὶ λαμπρὰν ἡτοιμάσατο
*tent near (the)-waves pitched and (a)-brilliant prepared*
τράπεζαν. Καὶ μετὰ δὴ πολλὰς τὰς τροφὰς καὶ πόσεις
*table and after indeed many the foods and drinks*
καὶ βαρβαρικά τινα παίγνια καὶ τἆλλ' ὁπόσα βαρβαρικῶς
*and barbarous some games and the-rest as-much-as barbarously*
ἀσέμνως ταῖς γυναιξὶ κατεχρήσατο, σὺν αὐταῖς γυναιξὶ πρὸς
*indecently the women abused with (the)-very women to*
ὕπνον ἐτράπη τὸ βάρβαρον, ὅλαις ἡδοναῖς καταβαπτισθὲν
*sleep turned the barbarian(-crew) in-whole pleasures drowned*
τὴν ψυχὴν καὶ ὅλοις καταμεθυσθὲν τοῖς ἔρωσιν.
*(in)-the soul and with-whole drunk the loves*
Οὕτω μὲν οὖν εἶχε τὸ βάρβαρον· ἡμεῖς δ' ἐκ πυθμένος τοῦ 9
*thus indeed then was the barbarian(-crew) we and from (the)-bottom of-the*
σκάφους τῇ μέθῃ τῶν βαρβάρων θαρρήσαντες ἑαυτοὺς
*hull in-the drunkenness of-the barbarians having-trusted ourselves*
ἀνηγάγομεν, καὶ μυρίοις κατετυραννούμεθα λογισμοῖς ἢ
*brought-up and by-countless were-tyrannized thoughts either*
τῆς τριήρους ἀποβῆναι περὶ τὴν ἤπειρον ἢ σὺν αὐτῇ
*from-the trireme to-disembark to the mainland or with (the)-very*

τριήρει τὰς χεῖρας τῶν βαρβάρων φυγεῖν ἢ τοῖς ὅπλοις
*trireme the hands of-the barbarians to-flee or with-the arms*
Ἑλληνικῶς καθοπλίσασθαι, ὅσα τριήρης φέρει πολλά, καὶ
*in-Greek-fashion to-arm-ourselves which (a)-trireme carries many and*
τοῖς βαρβάροις κατεπιθέσθαι καὶ ἢ νικᾶν ἢ πίπτειν
*on-the barbarians to-fall and either to-win or to-fall*
μαχομένους ἡμᾶς. Ταῦθ' ἡμεῖς, καὶ στρατὸς ὁπλίτης περὶ
*fighting we these(-things) we and (an)-army armed on*
τὴν ἤπειρον τοῖς βαρβάροις κατεπιτίθεται, ὅλοις ὑπνοῦσιν,
*the mainland on-the barbarians falls wholly sleeping*
ὅλοις καταβεβακχευμένοις ἐξ οἴνου καὶ ἔρωτος· καὶ τὸ μὲν
*wholly maddened by wine and love and the indeed*
βάρβαρον ἅπαν ἄλλο κατεληίζετο, ἡμεῖς δ' Ἑλληνικὴν
*barbarian(-crew) whole other was-plundered we and Greek*
βαρβαρικῆς δουλείας ἀντηλλασσόμεθα, καὶ δοῦλοι πάλιν
*for-barbarous slavery exchanged and slaves again*
ἐκ δούλων γεγόναμεν, καὶ βαρβάροις δεσπόταις γεγονότες
*from slaves we-have-become and with-barbarian masters having-become*
ὁμόδουλοι καὶ αὐτοῖς δεσπόταις συναιχμαλωτιζόμενοι
*fellow-slaves and with-(the)-very masters taken-captive-together*
ὁμογλώσσοις Ἕλλησιν ἐδουλογραφούμεθα. Καὶ περὶ μέσην
*to-same-tongued Greeks we-were-enrolled-as-slaves and through mid*
ἀγορὰν καὶ πόλιν Δαφνήπολιν, πόλιν Ἀπόλλωνος ἱεράν,
*marketplace and city Daphnepolis city of-Apollo sacred*
στρατηγὸς καὶ στρατὸς ἐφ' ἡμῖν θριαμβεύει τὰ ἐπινίκια, καὶ
*(the)-general and army over us celebrates the victory and*
ἡ πόλις κροτεῖ καὶ ἀλαλάζει χαρμόσυνα· καὶ πάντες ἡμεῖς ἡ
*the city claps and shouts joyfully and all we the*
λεία, τὸ λάφυρον, ἐλεεινῶς ἐφειλκόμεθα μέχρις Ἀπόλλωνος
*booty the spoil pitiably were-dragged to of-Apollo*
ἱεροῦ, ὃ δὴ θαῦμα φέρει πόλις Δαφνήπολις.
*(the)-temple which indeed (as)-wonder has (the)-city Daphnepolis*

Ἅμα γοῦν τὸ πᾶν περὶ τὸν βωμόν· κἀγὼ τοὺς πόδας
*at-once at-any-rate the all at the altar and-I the feet*
περιχυθεὶς τοῦ θεοῦ καὶ ὅλους πλύνων τοῖς δάκρυσι
*having-embraced of-the god and wholly washing with-the tears*
"σὺ στῆσον, Ἄπολλον" εἶπον, "τὸν κλύδωνα, συμπαθὲς
*you stop Apollo I-said the surge compassionate*
εὔδιον ἀντιπνεύσας τοῖς ἐμοῖς δυστυχήμασι. Διὸς κῆρυξ
*fair-weather having-blown-against to-the my misfortunes of-Zeus herald*
σοῦ πατρὸς ἦκον ἐξ Εὐρυκώμιδος εἰς Αὐλίκωμιν,
*of-your father I-came from Eurykomis to Aulikomis*
ἐκ δάφνης ταύτης τῆς σῆς τὴν ἐμὴν ταύτην ἀθλίαν
*with laurel this the your the my this wretched*
στεφανωθεὶς κεφαλήν· ἀλλ' Ἔρως σὸς ἀδελφὸς ῥόδοις
*crowned head but Eros your brother with-roses*
ταύτην ἀντεστεφάνωσεν· οὗτός μοι τὴν παρθενίαν ἐσύλησεν
*it re-crowned he my the maidenhood plundered*
ἢ μᾶλλον ἐρωτικῶς ἀντηλλάξατο, Ὑσμίνην παρθένον
*or rather amorously exchanged Hysmine (the)-maiden*
ἀθλίαις ταύταις ἀντιπαραθεὶς μοι χερσίν, ἣν καὶ
*in-wretched these having-placed-in-return my hands whom also*
Ποσειδῶν παρθένον ἀνήρπασεν ἐξ ἐμῶν τούτων ἀθλίων
*Poseidon maiden snatched-up from my these wretched*
χειρῶν καὶ μέσης ψυχῆς, ὅλῳ πνεύματι πνεύσας, ὅλῃ
*hands and mid soul with-whole wind having-blown with-whole*
θαλάσσῃ καὶ κλύδωνι. Σὺ δέ μοι στῆσον τὸν κλύδωνα καὶ
*sea and surge you but for-me stop the surge and*
τὴν Ὑσμίνην παράθου μοι τῇ χειρί, ἢ κἀμὲ πρὸς αὐτὴν
*— Hysmine entrust to-me in-the hand or me-too to herself*
Ὑσμίνην ὅλον μετάγαγε. Δοῦλος ἀντ' ἐλευθέρου γεγένημαι
*Hysmine wholly carry-over (a)-slave instead-of free I-have-become*
καὶ τρίδουλος ἀντὶ κήρυκος, Ἔρωτι δουλογραφηθεὶς τὰ
*and thrice-slave instead-of herald to-Eros enrolled-as-slave the*

πρῶτα, καὶ βαρβάροις τούτοις τὸ δεύτερον, καὶ τρίτον
*first and to-barbarians these the second and third*
τοῖς ἐκ τῆς σῆς ταύτης Δαφνηπόλεως Ἕλλησι."
*to-the from the your this Daphnepolis Greeks*
11 Ταῦτ' ἔλεγον καὶ τοῖς αἰχμαλώτοις συνεφειλκόμην περὶ
*these(-things) I-said and with-the captives was-dragged-along to*
δάφνην καὶ τρίποδα· καὶ χρησμός με καὶ κλῆρος πάλιν
*(the)-laurel and tripod and oracle me and lot again*
δουλογραφεῖ· καὶ πάλιν δοῦλος καὶ τρίδουλος ἐγώ, καὶ
*enrolls-as-slave and again slave and thrice-slave I and*
τῷ δεσπότῃ περὶ τὴν οἰκίαν μεθέλκομαι, ᾧ χρησμὸς
*to-the master to the house am-dragged to-whom oracle*
καὶ κλῆρος τὴν ἐμὴν ἐχαρίσατο δούλωσιν. Ἡ δέ μοι
*and lot the my granted slavery the and to-me*
δεσπότις φησὶ
*mistress says*

"τίς πόθεν εἶς ἀνδρῶν, πόθι τοι πόλις ἠδὲ τοκῆες;"
*who whence are-you of-men where your city and parents*

Ἐγὼ δ' ἀλλ' "ὦ δέσποινα, δοῦλος σός· τὰ δ'
*I and but O mistress slave your(-am-I) the(-things) and*
ἄλλα ζητοῦσα μαθεῖν ὅλον δρᾶμα ζητεῖς καὶ ὅλον
*other seeking to-learn (a)-whole drama you-seek and (a)-whole*
τραγῳδημα. Παράδειγμα Τύχης ἐγώ, νερτέρων σκιά,
*tragedy (an)-example of-Fortune I of-the-dead (a)-shade*
δαιμόνων παίγνιον, Ἐριννύων τράπεζα." Καὶ λέγων τοὺς
*of-spirits (a)-plaything of-the-Furies (a)-table and saying the*
ὀφθαλμοὺς ἐπεπήγειν τῇ γῇ καὶ ὅλην τοῖς δάκρυσιν
*eyes I-had-fixed on-the ground and whole with-the tears*
ἔβρεχον· ἡ δ' ἀλλ' ἐπέσκηπτε λέγουσα "μὴ φείσῃ μηδενός,
*drenched she and but enjoined saying not spare anything*

ἀλλὰ πάντ᾽ ἐκκάλυπτε λέγων.” Ἐμοῦ δ᾽ ἐπέλιπεν ἡ φωνή,
*but all reveal saying my and failed the voice*
καὶ ἐπείχετο ἡ γλῶσσα, καί μου τῶν ὀφθαλμῶν κατὰ
*and was-held the tongue and from-my the eyes in*
ποταμοὺς ἀπέρρει τὸ δάκρυον. Ὁ δέ μου δεσπότης (παρῆν
*rivers flowed the tear the and my master was-present*
γὰρ καὶ αὐτὸς) “καιρὸς ἀρίστου” φησίν, “ἀνακλιθῶμεν
*for also himself (it-is)-time of-breakfast says let-us-recline*
ἐπὶ τὸ δεῖπνον, καὶ περὶ τὴν τράπεζαν καὶ μέσας τροφὰς
*at the meal and at the table and amid foods*
τῇ γλώσσῃ τοῦ δούλου καιρὸν χαρισώμεθα.”
*to-the tongue of-the slave time let-us-grant*
Τοίνυν παρετίθετο τράπεζα, καὶ οἱ δεσπόται μὲν 12
*therefore was-set-out (a)-table and the masters indeed*
ἀνεκλίνοντο, ἐγὼ δὲ παρειστήκειν δουλοπρεπῶς· καὶ πάλιν
*reclined I and stood-by slavishly and again*
ἡ δεσπότις πρός μέ φησιν “ἰδού σοὶ καιρὸς τῇ
*the mistress to me says behold for-you (is)-time with-the*
γλώσσῃ κατὰ μέρος ἡμῖν καταζωγραφῆσαι τὰ σά.”
*tongue in detail for-us to-paint the(-things) yours*
Ἐγὼ δὲ καὶ μόνον ἐπιμνησθεὶς ἐλεεινὸν ἐβρυχησάμην
*I and even only having-recalled pitiably roared*
ἐγκάρδιον, πολλὰ δὲ τῶν ὀφθαλμῶν κατέσταξα δάκρυα
*from-the-heart many and from-the eyes I-shed tears*
“φείσασθε” λέγων, “δεσπόται, δυστυχημάτων ἐμῶν, μὴ τὴν
*spare saying masters (the)-misfortunes my lest the*

τράπεζαν εἰς κοπετὸν μεταβάλω καὶ πένθους ὑμῖν κρατῆρα
*table into mourning I-turn and of-grief for-you (a)-bowl*
κεράσωμαι." Καὶ λέγων οὐκ ἔπειθον καὶ μὴ πείθων
*I-mix and saying not I-persuaded and not persuading*

"αἰαῖ, τὸ δοῦλον ὡς κακὸν πεφυκέναι"
*alas the slave(-state) how (an)-evil to-be*

φημί,
*I-say*

"τολμᾷ θ' ἃ μὴ χρὴ τῇ βίᾳ νικώμενον.
*it-dares and what not (it)-is-right by-the force being-overcome*

13 Ἐμοὶ πατρὶς πόλις Εὐρύκωμις, πατὴρ Θεμιστεὺς καὶ
*my fatherland (the)-city Eurykomis father Themisteus and*
μήτηρ Διάντεια· εἰ δ' εὐτυχοῦντες, εἰ τὰ πρῶτα
*mother Dianteia whether and prosperous whether the first(-place)*
φέροντες τῶν ἐν Εὐρυκώμιδι, οὐκ ἐμόν ἐστι λέγειν. Καιρὸς
*holding of-those in Eurykomis not mine it-is to-say (the)-season*
Διασίων τῇ πόλει, καὶ πανήγυρις λαμπρὰ τὰ Διάσια·
*of-(the)-Diasia for-the city and festival brilliant the Diasia*
ἐγὼ δὲ δάφνῃ στεφανωθείς, χιτῶνι κατακοσμηθείς, ἀρβύλῃ
*I and with-laurel crowned with-tunic adorned with-boot*
σεμνῇ, καὶ ὅλον περιδυθεὶς τὸ κηρύκειον κῆρυξ ἦκον
*solemn and whole having-put-on the herald's-staff herald I-came*
εἰς Αὐλικώμιδα. Καί μου τὸν στέφανον Ἔρως ἐσύλησεν,
*to Aulikomis and my the crown Eros stole*
Ὑσμίνῃ παρθένῳ περικαλλεῖ Σωσθένους θυγατρὶ τὰ πρῶτα
*with-Hysmine maiden very-fair of-Sosthenes daughter the first(-place)*
τῶν ἐπ' Αὐλικώμιδος φέροντος ἀγκίστρῳ χρησάμενος· καὶ
*of-those in Aulikomis holding (as)-hook having-used and*

δοῦλος Ἀφροδίτης εἰς τὴν ἐμὴν Εὐρύκωμιν ἀνθυπέστρεψα
*slave of-Aphrodite to the my Eurykomis I-returned*
σὺν αὐτῇ παρθένῳ καὶ τῷ ταύτης πατρί. Τὰ δ'
*with (the)-very maiden and the her father the(-things) and*
ἐφεξῆς ὁποῖα; Σωσθένης πατὴρ Ὑσμίνης ἐν μέσῃ τραπέζῃ
*next of-what-sort Sosthenes father of-Hysmine in mid table*
καὶ δείπνῳ πολυτελεῖ γάμον ἕτερον κηρύσσει τῆς θυγατρός,
*and dinner costly marriage another announces of-the daughter*
ὃν ἡδέως φεύγοντες ἡμεῖς πικρῶς ἁλισκόμεθα, εἰς πῦρ
*which gladly fleeing we bitterly are-caught into fire*
ἐκ καπνῶν ἐμπεσόντες κἀξ ὄμβρων εἰς θάλασσαν. Ναῦς
*from smoke having-fallen and-from rains into (the)-sea (a)-ship*
ὑπηρέτις ἡμῖν τῇ φυγῇ, πρὸς ἣν Ποσειδῶν ἀντιπνεῖ· καὶ
*servant for-us for-the flight against which Poseidon blows and*
θῦμα ζητεῖ, καὶ τὸ θῦμα κληρούμεθα, καὶ ἦν ὁ κλῆρος
*(a)-victim seeks and the victim we-choose-by-lot and was the lot*
ἐπὶ τὴν Ὑσμίνην πεσών. Ἡ δέ μου τῶν χειρῶν ἐλεεινῶς
*upon — Hysmine fallen she and from-my the hands pitiably*
ἐκσπασθεῖσα κατὰ κυμάτων ὠθεῖται, καὶ τὸ μὲν ναυτικὸν
*torn into (the)-waves is-thrust and the indeed crew*
ἐξάγει τοῦ κλύδωνος, ἐμὲ δ' εἰς μέσας θαλάσσας ἐμβάλλει
*leads-out of-the surge me but into mid seas casts*
καὶ κλύδωνα καὶ θρήνων καὶ κωκυτῶν· ἃ δὴ μὴ φέρον
*and surge and of-laments and wailings which indeed not bearing*
τὸ ναυτικὸν τῆς νεὼς περὶ τὴν χέρσον ἐκσφενδονᾷ με,
*the crew from-the ship onto the shore hurls me*
καὶ τὸ βάρβαρον τοῦτο τὸ νῦν συναιχμάλωτον αἰχμάλωτον
*and the barbarian(-crew) this the now fellow-captive captive*
ἄγει με· ὅθεν ἐκ σῆς ταύτης πάλιν ἠχμαλωτίσθην χειρός,
*leads me whence by your this again I-was-captured hand*
δοῦλος ἐκ δούλου γενόμενος καὶ τρίδουλος ἀντὶ κήρυκος."
*slave from slave having-become and thrice-slave instead-of herald*

14 Ταῦτ᾽ ἔλεγον καὶ κατεβρεχόμην τοῖς δάκρυσιν· ἡ
*these(-things) I-said and was-drenched with-the tears the*
δέ μοι δεσπότις φησὶν "ὅλον δρᾶμα τὰ κατὰ
*and my mistress says (a)-whole drama the(-things) about*
σὲ καὶ ὄντως τραγῴδημα· τὰ δ᾽ εἰς δεσπότας
*you and truly (a)-tragedy the(-things) but for masters*
ἡμᾶς εὐτυχεῖς." Ἐγὼ δ᾽ "ὅτι δεσπότας μᾶλλον ἔχω,
*us you-are-fortunate I and because masters rather I-have*
δυστυχῶ" πρὸς τὴν δέσποιναν ἔλεγον·
*I-am-unfortunate to the mistress said*

"ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
*whoever for not is-accustomed to-taste of-ills*
φέρει μέν, ἀλγεῖ δ᾽ αὐχέν᾽ ἐντιθεὶς ζυγῷ."
*bears(-them) indeed suffers but (his)-neck putting in-(the)-yoke*

Καὶ ὁ δεσπότης φησὶν "εἰ μέν σοι πατρὶς περιφανὴς καὶ
*and the master says if indeed to-you fatherland famous and*
γένος λαμπρὸν καὶ τὰ κατ᾽ οἴκους πολυτελῆ, νῦν τούτων
*family brilliant and the(-things) in homes costly now of-these*
ἔχεις οὐδέν· δοῦλος γὰρ εἶ καὶ δοῦλος ἡμῶν· εἰ δὲ καὶ
*you-have nothing (a)-slave for you-are and slave our if and also*
σωφροσύνης καὶ παρθενίας ἀφροσύνην ἀντηλλάξω καὶ ἔρωτα,
*for-temperance and maidenhood folly you-exchanged and love*
εἰ δὲ καὶ στεφάνων δάφνης παρθενικῆς στέφανον ἐκ ῥόδων
*if and also for-crowns of-laurel maidenly (a)-crown of roses*
ἐρωτικόν, μὴ σύ γε τὸ ἀπὸ τοῦδε· ἀλλὰ κτῆσαι τὸ σῶφρον
*amorous not you at-least the from now but acquire the chaste*
καὶ τὸ φιλόσωφρον ἀγάπησαι, ἵνα μὴ τὴν σωφροσύνην ἐξ
*and the chaste-loving love that not the temperance from*
ἔργων μάθῃς αὐτῶν καὶ χεῖρα δεσπότου κτήσῃ διδάσκαλον."
*deeds you-learn (the)-very and (the)-hand of-master get (as)-teacher*

Ταῦθ' ὁ δεσπότης· ἐγὼ δ' ἐσίγων καὶ τοὺς ὀφθαλμοὺς 15
*these(-things) the master I and was-silent and the eyes*
εἶχον ὁρῶντας εἰς γῆν καὶ ὅλους δακρύων μεστούς.
*I-had looking to (the)-ground and wholly of-tears full*
Καὶ οὕτω πέρας τὰ τῆς τραπέζης ἐδέχετο· καὶ ὁ
*and thus (an)-end the(-things) of-the table received and the*
τῶν Διασίων κῆρυξ Ὑσμινίας ἐγώ, ὁ τῆς δάφνης
*of-the Diasia herald Hysminias I the(-one) with-the laurel*
στεφανωθείς, ὁ λαμπρῶς τὸ πρῶτον πλεύσας ἐξ
*crowned the(-one) brilliantly the first having-sailed from*
Εὐρυκώμιδος, ὁ περὶ τὴν Αὐλίκωμιν βασιλικῶς ἐφ'
*Eurykomis the(-one) in — Aulikomis royally on*
ἅρματος ἱππασάμενος, ὁ πολυτελῶς ἐπὶ τῆς τοῦ
*(a)-chariot having-ridden the(-one) sumptuously at the —*
Σωσθένους λαμπρᾶς τραπέζης ἀνακλιθείς, ἐπὶ δουλικῆς
*of-Sosthenes brilliant table having-reclined at (a)-slave's*
τραπέζης νῦν ἀνακέκλιμαι σὺν ὁμοδούλων χορῷ καὶ
*table now recline with of-fellow-slaves (a)-chorus and*
τὰ τῶν δούλων ὑπηρετῶ καὶ ὅλος δοῦλός εἰμι καὶ ὅλην
*the(-tasks) of-the slaves serve and wholly slave I-am and whole*
δουλείαν ἐνδέδυμαι καὶ ὅλην δουλοπρέπειαν ὑποκρίνομαι,
*slavery have-put-on and whole servility I-play*
ὅλον ἀποδυθείς, ὦ Ζεῦ καὶ θεοί, τὸ κηρύκειον καὶ ὅλον
*wholly having-stripped-off O Zeus and gods the herald's-staff and whole*
τὸ ἐλεύθερον.
*the freedom*
Οὕτω μὲν οὖν εἶχε τὰ κατ' ἐμέ, καὶ οὕτως ἐδούλευον·
*thus indeed then were the(-things) about me and thus I-served-as-slave*
ἀλλ' οὐδ' ἐν μέσοις οὕτω δεινοῖς Ὑσμίνης λήθην
*but not-even in (the)-midst so terrible of-Hysmine forgetfulness*

παρθένου φίλης ἐμῆς ἔπαθον, οὐ νὴ τὸν φοβερὸν Ἔρωτα
*maiden dear my I-suffered no by the fearful Eros*
καὶ τὴν τῶν τοσούτων δυστυχημάτων πηγήν.
*and the of-the so-many misfortunes spring*
16 Ὁ τῶν Διασίων ἦκε καιρός· καὶ κἂν Δαφνήπολις οὐ τιμᾷ
*the of-the Diasia came season and even-if Daphnepolis not honors*
τὰ Διάσια, κἂν οὐκ ἄγῃ πανήγυριν, ἀλλ᾽ ἔμ᾽ οὐ διέλαθε,
*the Diasia even-if not it-holds (a)-festival yet me not escaped*
καὶ τὴν μνήμην ἀνῆψε καὶ τὸν θρῆνον ἐξήγειρεν· ἀλλ᾽ ἥ μοι
*and the memory kindled and the lament raised but the my*
Τύχη καὶ τούτων ἐφθόνησεν. Ἐθρήνουν, ἀλλὰ τὸν θρῆνον
*Fortune even these begrudged I-lamented but the lament*
ὑπέκλεπτον· ἐδάκρυον, καὶ τοὺς ὀφθαλμοὺς ὑπεκρυπτόμην
*I-hid I-wept and the eyes I-hid*
τῶν δεσποτῶν· τὴν ψυχὴν εἶχον καὶ φωνὴν καὶ γλῶσσαν
*from-the masters the soul I-had and voice and tongue*
καὶ δάκρυα. Δοῦλος ὁ κῆρυξ ἐλεεινολογούμενος ὅλην
*and tears (a)-slave the herald bewailing whole*
ἀνεπλαττόμην τῷ νῷ τὴν Εὐρύκωμιν, τὴν Αὐλίκωμιν, τὸ
*I-refashioned in-the mind — Eurykomis — Aulikomis the*
κηρύκειον, τὸν τοῦ Σωσθένους κῆπον, τὸ περὶ τὸν κῆπον
*herald's-staff the — of-Sosthenes garden the in the garden*
φρέαρ, τὰ παρὰ τούτῳ πτηνά, τὸν κατάχρυσον ἀετόν,
*well the by it birds the gilded eagle*
τὴν Ὑσμίνην κιρνῶσαν, ἐρωτικῶς μοι προσπαίζουσαν,
*— Hysmine mixing amorously with-me sporting*
τοῖς ποσί μου συμπαίζουσαν, ταῖς κύλιξι καταπαίζουσαν,
*with-the feet my playing with-the cups toying*
καὶ τἆλλ᾽ ὁπόσα (βαβαὶ τῶν ὡς ἐν ὀνείροις ἐρωτικῶν
*and the-rest as-much-as ah for-the as in dreams amorous*
ἡδονῶν) κατεπαίζομεν· καὶ ἐπὶ πᾶσι τούτοις “Ὑσμίνη
*pleasures we-played and upon all these Hysmine*

μοι φίλη" λεπτὸν ἐψιθύριζον. Οἷς μέσοις ἡ δεσπότις
*my dear faintly I-whispered in-which midst the mistress*
αἴφνης ἐφίσταται καί μοί φησι "τί τοσοῦτον καταβαπτίζῃ
*suddenly appears and to-me says why so-much are-you-drowned*
τοῖς δάκρυσιν; ἰδού σοι παρίσταται· ἔχεις Ὑσμίνην ἐμέ,
*with-the tears behold for-you stands-by you-have Hysmine me*
δέσποιναν σὴν καὶ δούλην ἐξ ἔρωτος." Ἐγὼ δ' οὐδὲν
*mistress your and slave from love I and nothing*
εἰπὼν εὐθὺς ἀπεπήδησα, καὶ μόνης Ὑσμίνης ἐτίμων τὸν
*having-said at-once leapt-away and alone of-Hysmine honored the*
ἔρωτα, καὶ ὅλην ἐνωπτριζόμην αὐτήν.
*love and whole mirrored her*
Ὅσα μὲν οὖν μοι συνέπαιζεν ἡ δεσπότις ἐρωτικῶς 17
*as-much-as indeed then with-me played the mistress amorously*
καὶ κατεπετίθετο συνεχῶς καὶ ὅσα παρὰ τῷ δεσπότῃ
*and pressed-on continually and as-much-as before the master*
κατελοιδόρει μου καὶ ὅσα με κατηπειλεῖτο καὶ χειρὶ καὶ
*she-reviled me and as-much-as me she-threatened both with-hand and*
γλώσσῃ καὶ κεφαλῇ, οὐ τῆς ἐμῆς ἂν εἴη ταῦτα γλώσσης
*tongue and head not of-the my — would-be these(-things) tongue*
λαλεῖν, ἵνα μὴ λαθὼν Ἔρως τῇ γλώσσῃ καταπορνεύσῃ μου
*to-speak that not unnoticed Eros by-the tongue prostitute my*
τὴν ψυχὴν ἢ καὶ τὴν γλῶσσαν αὐτήν, ἣν Ὑσμίνῃ φυλάξω
*the soul or even the tongue itself which for-Hysmine I-will-keep*
παρθένῳ μεστὴν χαρίτων ἐρωτικῶν καὶ μέλιτος Ἀφροδίτης,
*(the)-maiden full of-graces amorous and of-honey of-Aphrodite*
οὗ κατακόρως ἡμεῖς τῇ γλώσσῃ μόνῃ κατετρυφήσαμεν.
*of-which to-the-full we with-the tongue only reveled*
Καιρὸς οὖν ἑορτῆς, καὶ λαμπρὰ πανήγυρις Δαφνηπόλει τῇ 18
*(the)-season then of-feast and brilliant festival for-Daphnepolis the*
πόλει, καὶ παρθένου Δάφνης φυγὴ τὰ τῆς ἑορτῆς
*city and of-(the)-maiden Daphne (the)-flight the(-things) of-the feast*

καὶ φύσις ὁμωνύμου φυτοῦ, καὶ ἐπὶ πᾶσιν Ἀπόλλωνος
*and (the)-birth of-(the)-same-named plant and upon all of-Apollo*
ἑορτὴ καὶ πανήγυρις· παρθένος γὰρ ἡ Δάφνη καὶ παρθένος
*feast and festival (a)-maiden for — Daphne and maiden*
καλή. Ταύτης Ἀπόλλων ἐρᾷ, καὶ ἡ παρθένος φρίττει τὴν
*fair her Apollo loves and the maiden dreads the*
συμπλοκὴν τοῦ θεοῦ καὶ ἀνανεύει τὸν ἔρωτα καὶ τὴν Γῆν
*embrace of-the god and refuses the love and — Earth*
δυσωπεῖ· ἡ δ' ἐλεεῖ τὴν κόρην καὶ φεύγουσαν κρύπτει καὶ
*entreats she and pities the girl and fleeing hides and*
παρθένον τηρεῖ καὶ φυτὸν ὁμώνυμον ἀντιδίδωσιν· Ἀπόλλων
*(a)-maiden keeps and (a)-plant same-named gives-in-return Apollo*
τοῦ φυτοῦ στεφανοῦται καὶ παραμυθεῖται τὸν ἔρωτα.
*with-the plant is-crowned and consoles the love*
Παρὰ γοῦν τῇ δάφνῃ βωμὸς καὶ πόλις ὁμώνυμος·
*by at-any-rate the laurel (an)-altar and (a)-city same-named*
Ἀπόλλωνος ὁ βωμός, καὶ ἡ πόλις Δαφνήπολις.
*of-Apollo the altar and the city Daphnepolis*
19 Ταῦτα δὴ ταῦτα. Πανήγυρις Δαφνηπόλεως, καὶ κήρυκες
*these(-things) indeed these(-things) (the)-festival of-Daphnepolis and heralds*
στεφανῖται χρησμῷ λαμβάνοντες τὸ κηρύκειον. Ἀπόλλων
*crowned by-oracle receiving the herald's-staff Apollo*
χρησμοδοτεῖ καὶ κήρυκα τὸν ἐμὸν δεσπότην ἀνηγόρευσε καὶ
*gives-oracle and (as)-herald the my master proclaimed and*
κήρυκα λαμπρὸν ἐς Ἀρτύκωμιν· ὁ δὲ στεφανοῦται τῆς
*herald brilliant to Artykomis he and is-crowned with-the*
δάφνης, διὰ μέσης ἀγορᾶς πομπεύει λαμπρῶς, διὰ
*laurel through mid marketplace processes brilliantly through*
μέσου θριαμβεύει θεάτρου. Καὶ πλῆθος περὶ τὸν κήρυκα,
*mid triumphs theater and (a)-throng around the herald*
καὶ προπομπὴ λαμπρὰ καὶ ποικίλη, καὶ τἆλλ' ὁπόσα
*and procession brilliant and varied and the-rest as-much-as*

κἀμὲ κατέπαιζε τὸ κηρύκειον· ὧν πάντων μεμνημένος ἐγὼ
*me-too mocked the herald's-staff which all remembering I*
μέσῳ λαμπρῷ θεάτρῳ καὶ λαμπρᾷ τελετῇ πλήρει χαρίτων
*in-mid brilliant theater and brilliant rite full of-graces*
καὶ ἡδονῆς θρήνων ἐπληρούμην καὶ κωκυτῶν, καὶ ὡς ἐν
*and pleasure with-laments was-filled and wailings and as by*
κεραυνῷ τῇ μνήμῃ τὴν ψυχὴν ὅλην κατεκεραυνοβολούμην
*thunderbolt by-the memory (in)-the soul whole I-was-thunderstruck*
πυκνά. Οὕτω τοίνυν, οὕτω λαμπρῶς, οὕτω πολυτελῶς καὶ
*often thus therefore so brilliantly so sumptuously and*
φιλοτίμως ὁ κήρυξ καὶ δεσπότης ἐμὸς περὶ τὴν οἰκίαν
*lavishly the herald and master my to the house*
ἐγένετο, δάφνης ἐστεφανωμένος, χιτῶνι κεκοσμημένος
*came with-laurel crowned with-tunic adorned*
λαμπρῷ καὶ πεδίλῳ σεμνῷ. Μετὰ γοῦν δὴ τὴν λαμπρὰν
*brilliant and sandal solemn after at-any-rate indeed the brilliant*
ἐκείνην πομπήν, ἣν κἀγώ ποτε (βαβαὶ τῆς τύχης)
*that procession which I-too once ah for-the fortune*
ἐπόμπευον εἰς Εὐρύκωμιν, ὁ κήρυξ σὺν αὐτῇ μοι δεσποίνῃ
*led-in-procession to Eurykomis the herald with (the)-very my mistress*
περὶ λαμπρὰν ἀνακέκλιται τράπεζαν, δάφνης τὴν κεφαλὴν
*at (a)-brilliant has-reclined table with-laurel (on)-the head*
ἐστεφανωμένος καὶ κήρυξ ὢν ἐκ κορυφῆς καὶ μέχρι ποδῶν.
*crowned and herald being from head and to feet*
Περὶ δὲ μέσην τὴν τράπεζαν ἡ δεσπότις φησὶ "κήρυξ, σὴν 20
*at and mid the table the mistress says herald your*
μὲν ταύτην ἐμὴν κεφαλὴν Ἀπόλλων λαμπρῶς ἐστεφάνωσε,
*indeed this my head Apollo brilliantly crowned*
κήρυκά σε λαμπρὸν στειλάμενος εἰς Ἀρτύκωμιν καὶ
*(as)-herald you brilliant having-sent to Artykomis and*
κήρυκα λαμπρᾶς Ἀπόλλωνος ἑορτῆς· καί σοι τὰ
*herald of-brilliant of-Apollo feast and for-you the(-things)*

περὶ τὴν ὁδὸν εὖ διάθοιτο· δοῦλος δ' οὗτος ἡμῶν, ὃν
*about the journey well may-be-arrange slave but this our whom*
αἰχμή σοι καὶ γενναία χεὶρ ἐληίσατο, μή σοι συνέψοιτο
*spear your and noble hand captured not you may-be-follow*
πρὸς Ἀρτύκωμιν· δοκεῖ γάρ μοι καὶ τῷ νῷ συνετός,
*to Artykomis seems for to-me both in-the mind shrewd*
καὶ τῇ γλώσσῃ σοφὸς καὶ ὅλον συνέχων τὸ ἐπισκύνιον
*and in-the tongue clever and whole knitting the brow*
καὶ συνεχῶς θρηνῶν καὶ κοπτόμενος· δέδοικα γοῦν
*and continually lamenting and beating-his-breast I-fear at-any-rate*
μή τί σοι νεανιεύσηται τῶν οὐκ ἀγαθῶν,
*lest something against-you he-dare of-the(-things) not good*
ὅτι καὶ τὸ δοῦλον τοῖς δεσπόταις πολέμιον." Καὶ ὁ
*because also the slave(-kind) to-the masters (is)-hostile and the*
δεσπότης φησὶν "ἀλλὰ κατὰ τὴν τραγῳδίαν
*master says but according-to the tragedy*

χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
*to-good slaves (a)-misfortune the(-affairs) of-masters*
κακῶς πίτνοντα."
*ill falling*

Ἡ δ' "ἀλλὰ 'χρηστοῖσι' φησὶν ἡ τραγῳδία· ὁ δὲ καὶ
*she and but to-good says the tragedy he and both*
κήρυξ γεγονέναι τερατολογεῖ καὶ γένος καὶ πατρίδα
*herald to-have-been talks-marvels and family and fatherland*
λαμπρολογεῖ καὶ ἄλλ' ἄττα πολλὰ καταγλωσσαλγεῖ."
*boasts and other some many(-things) babbles*
21 Καὶ ὁ δεσπότης πρός μέ φησιν "εἰ κήρυξ, ὡς εἴρηκας,
*and the master to me says if herald as you-have-said*
γέγονας, οὕτω δὴ καὶ σὺ κατ' ἐμὲ τὴν κεφαλὴν
*you-have-been thus indeed also you like me (on)-the head*

ἐστεφάνωσαι.” Ἐγὼ δ’ “ἀλλὰ σύ μοι, δέσποτα κήρυξ,
*have-been-crowned I and but you my master herald*
φεῖσαι γλώσσης ἐμῆς οὕτω προπετῶς κινουμένης καὶ
*spare tongue my so rashly moving and*
ἀναιδῶς. Ἀληθῶς καὶ τοὺς πόδας κεκόσμημαι καὶ
*shamelessly truly also (on)-the feet I-have-been-adorned and*
ποδήρη χιτῶνα τουτουὶ λαμπρότερον περιδέδυμαι, ὅτι
*foot-long tunic than-this-one more-brilliant have-put-on because*
καὶ κήρυξ Διὸς πατρὸς ἀνδρῶν τε θεῶν τε· σὺ δέ μοι
*also herald of-Zeus of-father of-men both of-gods and you but me*
σύγγνωθι, δέσποτα.” Καὶ πρὸς τὴν δεσπότιν ὁ δεσπότης
*pardon master and to the mistress the master*
φησὶν “ἴσως ποτ’ ἦν κήρυξ οὗτος ἐλεύθερος ὤν, κἂν
*says perhaps once was herald this(-man) free being even-if*
βάρβαρος χεὶρ εἰς δουλείαν μετήγαγε· τύχη γὰρ τὰ
*barbarous hand into slavery brought(-him) fortune for the*
θνητῶν πράγματ’, οὐκ εὐβουλία. Εἰ γοῦν μοι συνέψοιτο
*of-mortals affairs not good-counsel if at-any-rate me he-follow*
περὶ τὴν Ἀρτύκωμιν, ἴσως οὐκ ἀσυντελὴς ἔσται μοι τῷ
*to — Artykomis perhaps not useless he-will-be to-me in-the*
κηρύγματι.” Ταῦτ’ εἶπε καὶ τῆς τραπέζης ἀνέστη καὶ
*heralding these(-things) he-said and from-the table rose and*
πρὸς τῷ λειτουργήματι γέγονε. Καὶ πάλιν ἡ πόλις ὀρθή,
*at the service was and again the city upright*
καὶ πάλιν λαμπρὰ προπομπή, καὶ πάλιν πανήγυρις, καὶ
*and again brilliant procession and again festival and*
πάλιν ᾠδαί, καὶ τἆλλ’ ὁπόσα κοσμοῦσι τοὺς κήρυκας.
*again songs and the-rest as-much-as adorn the heralds*

*Sostratos lodges the herald at Artykomis; his daughter Rhodope pours the wine, and as she washes the herald's feet a maid sighs as Hysmine once sighed. In the garden a maid brings a letter: Hysmine, saved by a dolphin and a virgin still, is Rhodope's slave. Hysminias faints telling Rhodope his story, and the lovers pose as brother and sister. Rhodope loves him, and Hysmine carries kisses between them while the lovers keep their pact. When Rhodope writes and he balks, Hysmine urges him on, since Rhodope can free them, and laughs off his warning of a wronged woman's fury.*

1 Οὕτω τοίνυν, οὕτω λαμπρῶς τὴν πρὸς τὴν Ἀρτύκωμιν
*thus therefore so brilliantly the(-road) to — Artykomis*
ἐστελλόμεθα. Καὶ περὶ ταύτην ὁ κήρυξ ἐγένετο, καὶ πάλιν
*we-set-out and at it the herald arrived and again*
λαμπρὰ προπομπή, καὶ πάλιν ὄχλος καὶ θρίαμβος, κόσμος
*brilliant procession and again crowd and triumph adornment*
ἀγυιῶν, καλλωπισμὸς ἀγορῶν, παρθένων στεφάνωμα· περὶ
*of-streets embellishment of-marketplaces of-maidens crowning in*
γὰρ δὴ τοῦτο τὸ μέρος Ἀρτύκωμις εὐτυχεῖ, παρθενίαν
*for indeed this the respect Artykomis is-fortunate maidenhood*
τιμῶσα καὶ βωμὸν Ἀρτέμιδος παρθένου κόσμον ἔχουσα
*honoring and (the)-altar of-Artemis virgin (as)-ornament having*
†κεφαλήν. Κυμβάλων πλῆθος καταθέλγον τὴν ἀκοήν,
*head of-cymbals (a)-multitude charming the hearing*
παστάδων καλλωπισμὸς ἡδύνων τοὺς ὀφθαλμούς, ῥόδων
*of-canopies embellishment sweetening the eyes of-roses*
σταλαγμοὶ καὶ πᾶς εὐώδης καπνὸς εὐφραίνων τὴν ὄσφρησιν
*drops and every fragrant smoke gladdening the smell*
καὶ πλῆθος ῥητόρων λαμπρῶν ὑφαῖνον τὸν εἰσιτήριον.
*and (a)-multitude of-orators brilliant weaving the welcome-speech*

Ὁ μὲν οὖν δὴ δεσπότης ἐμὸς ἐν μέσῃ ταύτῃ λαμπρᾷ 2
*the indeed then indeed master my in mid this brilliant*
προπομπῇ καὶ ποικίλῳ θριάμβῳ καὶ πολυτελεῖ καὶ οἷον
*procession and varied triumph and costly and such-as*
Ἀπόλλων αὐτὸς ἐθριάμβευσεν ἄν, μακρὰ βιβὰς ὤδευεν,
*Apollo himself would-have-triumphed — long striding walked*
οἷον ὑπερνεφέλῳ τῷ σχήματι, ὀφρὺν ἐπαίρων μέχρις ἐς
*as-if above-the-clouds in-the bearing brow raising up-to to*
αὐτὸν οὐρανόν· ἐμὲ δ' ἡ μνήμη μέχρις ἐς αὐτὸν Ἅδου
*(the)-very heaven me but the memory as-far-as to (the)-very of-Hades*
κατῆγε πυθμένα καὶ τοὺς ὀφθαλμοὺς ἐπλήρου δακρύων εἰς
*brought bottom and the eyes filled with-tears into*
αὐτήν μου μέσην σταζόντων ψυχήν. Οἱ τῆς Ἀρτυκώμιδος
*(the)-very my middle dripping soul the — of-Artykomis*
προύχοντες ζητοῦσι ξενίσαι τὸν κήρυκα, καὶ ὅλον
*foremost seek to-host the herald and whole(-him)*
ἕκαστος πρὸς ἑαυτὸν ἀνθέλκεται καὶ μεθέλκεται, καὶ
*each to himself pulls-back and drags and*
καινή τις ἔρις καὶ φιλοξενίας ἀγών· εἴποι τις ἰδὼν
*strange a strife and of-hospitality contest might-say one having-seen*

ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι.
*good and strife this for-mortals*

Σώστρατος νικᾷ τὸν ἀγῶνα καὶ ἅρμα φέρων ἀνάγει 3
*Sostratos wins the contest and (a)-chariot bringing takes-up(-him)*
καὶ περὶ τὴν οἰκίαν μετάγει τὸν κήρυκα καὶ φιλοφρονεῖται
*and to the house brings the herald and welcomes*
τοῦτον φιλοτιμότατα, ὅσα καὶ Σωσθένης Ὑσμινίαν
*him most-lavishly as-much-as also Sosthenes Hysminias*
ἐμὲ πλὴν Ὑσμίνης πολυτελῶς ἐφιλοφρονήσατο· ἃ
*me except Hysmine sumptuously welcomed which*

πάντα μέσης ἥπτετό μου ψυχῆς, καὶ λήθης ηὐχόμην
*all middle touched my soul and of-forgetfulness I-prayed*
κρατῆρα πιεῖν. Ὅλον ὁ κήρυξ ἀπετίθετο τὸ κηρύκειον,
*(a)-bowl to-drink whole the herald put-off the herald's-staff*
καὶ τράπεζα πολυτελὴς παρετίθετο, καὶ παρθένος Ῥοδόπη
*and (a)-table costly was-set-out and (the)-maiden Rhodope*
Σωστράτου θυγάτηρ οἰνοχοεύει, καλὴ μὲν κατὰ παρθένον
*of-Sostratos daughter pours-wine fair indeed as (a)-maiden*
ἁπλῶς, πρὸς δέ γε τὴν ἐμὴν ἐκείνην Ὑσμίνην ὡς πρὸς
*simply against but at-least the my that Hysmine as against*
Ἀφροδίτην μιμώ. Τρυφαὶ ποικίλαι περὶ τὴν τράπεζαν,
*Aphrodite (an)-ape delicacies varied on the table*
ὅσαις οἶδε καὶ Σωσθένης φιλοφρονεῖσθαι τοὺς κήρυκας.
*with-which knows also Sosthenes to-welcome the heralds*
4 Ἐπὶ δὴ τούτοις πᾶσιν ὀφθαλμὸς ἥλατό μου ὁ δεξιός, καὶ
*upon indeed these all eye leapt my the right and*
ἦν μοι τὸ σημεῖον ἀγαθὸν καὶ τὸ προμάντευμα δεξιώτατον.
*was to-me the sign good and the presage most-propitious*
Εἰ μὲν οὖν ὁ τῆς Ἀρτυκώμιδος οἶνος ἡδὺς κατὰ τὸν
*whether indeed then the — of-Artykomis wine sweet like the(-wine)*
ἐξ Αὐλικώμιδος, οὐκ οἶδα νὴ τοὺς θεούς· Σώστρατος δ'
*from Aulikomis not I-know by the gods Sostratos but*
οὐκ ἔσχε κατὰ Σωσθένην Ὑσμίνην οἰνοχοεύουσαν, ὅθεν
*not had like Sosthenes Hysmine pouring-wine whence*
ἡττᾶται Σωσθένους, καί μου τὸ κηρύκειον τοῦ δεσπότου
*he-falls-short-of Sosthenes and my the herald's-staff than-the master's*
τοσοῦτον φιλοτιμότερον, ὅσον καὶ δυστυχέστερον. Μετὰ
*so-much more-lavish as-much-as also more-unfortunate after*
γοῦν τὰς ἐν τῇ τραπέζῃ τρυφὰς καὶ τὸ τοῦ συμποσίου
*at-any-rate the on the table delicacies and the of-the banquet*
πολυτελὲς καὶ λίαν φιλότιμον Ῥοδόπη κιρνᾷ κρατῆρα τῆς
*costliness and very splendid(-display) Rhodope mixes (the)-bowl of-the*

ἑορτῆς. Ὁ μὲν οὖν δὴ κήρυξ καὶ τῇ τύχῃ δεσπότης ἐμὸς
*feast the indeed then indeed herald and by-the fortune master my*
ἐφ᾽ οὕτω πολυτελοῦς τραπέζης ἀνακεκλιμένος λαμπρῶς
*at so costly (a)-table reclining brilliantly*
ἔπινεν, ὡς οἶμαι, μεθ᾽ ἡδονῆς, ἐγὼ δ᾽ ὁ ποτὲ κήρυξ,
*drank as I-think with pleasure I but the once herald*
ὁ λαμπρᾶς ἐπανακεκλιμένος τραπέζης, ὁ τῷ
*the(-one) at-(a)-brilliant having-reclined table the(-one) —*
Σωσθένει φιλοτίμως φιλοφρονηθείς, ὁ τὴν Ὑσμίνην
*by-Sosthenes lavishly having-been-welcomed the(-one) — Hysmine*
ἔχων οἰνοχοεύουσαν, ἣν καὶ μόνον ἰδεῖν εὐτυχές, ἔργα
*having pouring-wine whom even only to-see (is)-good-fortune tasks*
τὰ δούλων ὑπέχω καὶ ὅλος δοῦλός εἰμι· καὶ εἰ μὴ
*the of-slaves I-undergo and wholly slave I-am and if not*
κατελύετο τὸ συμπόσιον, τάχ᾽ ἂν ὅλος ἐρράγην αὐτός.
*was-ended the banquet perhaps — wholly I-would-have-burst myself*
Ἀλλ᾽ ὁ κήρυξ ἀναστὰς τῆς τραπέζης ἐπὶ τὸ δωμάτιον
*but the herald having-risen from-the table to the chamber*
γέγονε, καὶ περὶ κλίνην λαμπρὰν μαλακῶς ἀνακέκλιται,
*went and on (a)-couch brilliant softly has-reclined*
οἵαν κἀμοί ποτε Σωσθένης ὑπέστρωσεν.
*such-as for-me-too once Sosthenes spread*
Ἡ τοῦ Σωστράτου θυγάτηρ κατὰ τὴν ἐμὴν Ὑσμίνην ἦκε 5
*the — of-Sostratos daughter like the my Hysmine came*
τοὺς πόδας ἐκπλῦναι τοῦ κήρυκος, καὶ τρεῖς παιδίσκαι
*the feet to-wash of-the herald and three maids*
παρείποντο καθυπηρετοῦσαι τῷ λειτουργήματι. Ἔνιπτε
*followed serving the service washed*
μὲν οὖν ἡ Ῥοδόπη, ἐγὼ δὲ τὰ περὶ τοὺς ἐμοὺς
*indeed then — Rhodope I and the(-things) about the my*
ἀναλογισάμενος πόδας ἔκ τε χειρῶν καὶ χειλέων τῆς
*having-recalled feet from both hands and lips of-the*

ἐμῆς ἐκείνης Ὑσμίνης χαριεντίσματα πνεῦμά τι μέγα
*my that Hysmine gracious-tricks breath some great*
καὶ λίαν ὀδυνηρὸν ἐξ ἐμῶν μέσων ἐγκάτων ἀνέσπασα
*and very painful from my mid entrails drew-up*
καὶ δακρύων ἐπληρώθην τοὺς ὀφθαλμούς· καὶ θεραπαινὶς
*and with-tears was-filled (in)-the eyes and (a)-maidservant*
ἡ τῶν ποδῶν τὸ μάκτρον ἀνέχουσα πρὸ χειρῶν μικρὸν
*the of-the feet the towel holding before hands a-little*
ὑπεστέναξεν, ὥσπερ μιμουμένη τὸ τῆς ἠχοῦς ὑστερόφωνον,
*sighed as-if imitating the of-the echo after-sound*
καὶ οἷον Ὑσμίνη λεπτὸν ὑπεστέναξεν, ὅτε τῷ ποδί
*and such-as Hysmine faintly sighed when with-the foot*
μου τὸν πόδα ταύτης ἐπὶ τῆς τοῦ Σωσθένους τραπέζης
*my the foot her at the — of-Sosthenes table*
ἐπέθλιψα. Εἶδον οὖν ἀτενῶς εἰς αὐτὴν καὶ νὴ τὴν Ὑσμίνην
*I-pressed I-looked then intently at her and by — Hysmine*
τὴν Ὑσμίνην ἐδόκουν ὁρᾶν· ἡ δ' ἀντέβλεπεν ἀτενέστερον.
*— Hysmine I-seemed to-see she and looked-back more-intently*
6 Ἐπεὶ δ' ἡ τοῦ Σωστράτου θυγάτηρ ἀπονιψαμένη τοὺς
*when and the — of-Sostratos daughter having-washed the*
πόδας τοῦ κήρυκος ᾤχετο, καὶ αἱ θεραπαινίδες παρείποντο,
*feet of-the herald went-off and the maidservants followed*
συνῴχετο ταύτῃ καὶ ἦν ὡς Ὑσμίνην ἑώρων αὐτός.
*went-off-with her also (she)-whom as Hysmine I-saw myself*
Ἐγὼ δ' ὅλην τὴν νύκτα κατετυραννούμην τοῖς λογισμοῖς
*I and whole the night was-tyrannized-over by-the thoughts*
"ἆρ' ἦν Ὑσμίνη;" λέγων πρὸς ἑαυτόν· "ἀλλ' ἐκ
*can-it-be was Hysmine saying to myself but from*
χειρῶν ἀπεσπάσθη τούτων ἐμῶν, καὶ χερσὶ κυβερνήτου
*hands was-torn-away these my and by-hands of-(a)-helmsman*
δημίου πρὸ τούτων ἐμῶν ἐλεεινῶν ὀφθαλμῶν
*of-(an)-executioner before these my pitiable eyes*

ἐξεσφενδονήθη τοῖς κύμασιν. Ἀλλὰ Ζεύς, ἀλλ' Ἔρως τὴν
*was-hurled to-the waves but Zeus but Eros the*
κόρην ἐρρύσατο, καὶ πάντως ἔχει ταύτην Αὐλίκωμις· οὐδὲ
*girl rescued and surely has her Aulikomis not*
γὰρ ἐπὶ κακῷ καὶ δουλείᾳ ταύτην ἐσώσαντο." Καὶ ὅλην
*for toward evil and slavery her they-saved and whole*
αὐτὴν ἀνεπλαττόμην τῷ νῷ καὶ λογισμοῖς ποικίλοις ὅλην
*her I-pictured in-the mind and in-thoughts varied whole*
τὴν νύκτα παραμετρούμενος τῆς στρωμνῆς ἀνέστην,
*the night measuring-out from-the bed I-rose*
μηδὲ μέχρι βλεφάρων τοῖς ὕπνοις σπεισάμενος.
*not-even as-far-as (the)-eyelids with-the sleeps having-made-truce*
Ἡμέρα γοῦν καὶ τοῖς κατὰ νύκτα κακοῖς μεῖζόν μοι 7
*day at-any-rate and on-the by night evils greater for-me*
προσεπιτίθεται τὸ κακόν, καὶ κατὰ διαδοχάς μοι τὸ
*is-added-on the evil and by successions on-me the*
δυστυχές. Πάλιν Ὑσμινίας ἐγὼ τὰ δούλων ὑπέχω
*misfortune again Hysminias I the(-tasks) of-slaves undergo*
καὶ πάλιν δουλεύω καὶ ὅλος δοῦλος καὶ τρίδουλος·
*and again am-a-slave and wholly slave and thrice-a-slave*
δοῦλος Ὑσμίνης ἐξ Ἔρωτος, δοῦλος λογισμῶν ἐκ τῶν
*slave of-Hysmine from Eros slave of-thoughts from the*
ὀφθαλμῶν καὶ δοῦλος ἐκ τύχης τοῦ κήρυκος. Τράπεζα
*eyes and slave from fortune of-the herald (a)-table*
καὶ πάλιν πολυτελής, καὶ πάλιν ὁ κήρυξ τῷ Σωστράτῳ
*and again costly and again the herald — with-Sostratos*
συνανακλίνεται· καὶ πάλιν Ῥοδόπη κιρνᾷ, καὶ πάλιν
*reclines and again Rhodope mixes and again*
κατ' ἐμῆς ψυχῆς ἡ μνήμη στρατεύεται καὶ ταύτην ὅλην
*against my soul the memory makes-war and it whole*

πολιορκεῖ, πρὸς τὴν Αὐλίκωμιν ἄγει, πρὸς τὴν Ὑσμίνην
*besieges to — Aulikomis leads to — Hysmine*
μεθέλκεται καὶ ὅλον ἀναπλάττει μοι τὸ κηρύκειον.
*drags(-it)-across and whole pictures-again for-me the herald's-staff*
8 Ἐν μέσοις τούτοις ἡ παιδίσκη καὶ πάλιν ὑπηρετεῖ τῇ
*in midst these the maid and again serves the*
δεσπότιδι, καὶ πάλιν ἐγὼ τὴν παιδίσκην ὁρῶ, καὶ πάλιν
*mistress and again I the maid see and again*
τὴν Ὑσμίνην βλέπειν δοκῶ· ἡ δ' ἀτενέστερον ἀντιβλέπει
*— Hysmine to-see I-seem she and more-intently looks-back-at*
με καὶ τοὺς ὀφθαλμοὺς πληροῦται δακρύων. Ἐγὼ δ'
*me and the eyes fills with-tears I and*
ὑπεκστὰς τῆς τραπέζης δάφνῃ παρακαθίζω συνηρεφεῖ
*having-slipped-out from-the table by-(a)-laurel sit-down thick-shaded*
(ἐγγὺς γὰρ παραδείσου τὰ τῆς τραπέζης ὁ Σώστρατος
*near for (a)-garden the(-things) of-the table — Sostratos*
ἡτοιμάσατο) καὶ δακρύων τοὺς ὀφθαλμοὺς πληρωθεὶς
*had-prepared and with-tears (in)-the eyes having-been-filled*
καὶ βύθιον στενάξας ἐλεεινὸν "φεῖσαί μου, Ζεῦ" εἶπον·
*and deep having-groaned pitiably spare me Zeus I-said*
"στῆσόν μου τὴν μακρὰν πλάνην, τὸν βαρύν μοι κλύδωνα
*stop my the long wandering the heavy for-me surge*
καταπράυνον. Ἰδού με καὶ πάλιν καταπαίζουσι δαίμονες·
*calm behold me even again mock (the)-daemons*
πλάττουσι τὴν Ὑσμίνην, κοσμοῦσιν ἐρωτικῶς, ἱστῶσί μου
*they-fashion — Hysmine adorn(-her) amorously set(-her) my*
κατὰ μέτωπον καί με κατατυραννοῦσι καὶ τοῖς ὀφθαλμοῖς
*before face and me tyrannize-over both by-the eyes*
καὶ τοῖς λογισμοῖς." Ταῦτ' ἔλεγον καί τις ἐπιστᾶσά
*and by-the thoughts these(-things) I-was-saying and some standing-by*
μοι παιδίσκη φησὶν "ἐξ Ὑσμίνης παρθένου σῆς ἐρωμένης
*me maid says from Hysmine (the)-maiden your beloved*

καὶ νῦν ἐμῆς ὁμοδούλου τοῦτό σοι τὸ ἐπιστόλιον,'' καί
*and now my fellow-slave this to-you the letter and*
μου τῇ χειρὶ παραθεῖσα δρομαῖος ᾤχετο. Τοῦτο δ' ἐγὼ
*my in-the hand having-placed running went-off this and I*
λαβὼν ἀνέπτυξα σύντρομος· τὸ δ' εἶχεν οὕτως
*having-taken unfolded trembling it and had thus*
ΥΣΜΙΝΗ ΠΑΡΘΕΝΟΣ ΥΣΜΙΝΙΑΙ ΤΩΙ ΕΡΑΣΤΗΙ 9
*HYSMINE MAIDEN TO-HYSMINIAS THE LOVER*
ΧΑΙΡΕΙΝ.
*GREETING*
Ὑσμινία Θεμιστείδη, ἴσθι ὡς Ὑσμίνην τὴν σὴν δελφὶν
*Hysminias son-of-Themisteus know that Hysmine the your (a)-dolphin*
θαλάσσης ἐρρύσατο, καὶ πηγὴ καὶ τόξον Ἀρτέμιδος,
*from-(the)-sea rescued and (a)-spring and (a)-bow of-Artemis*
παρθένου θεᾶς, παρθένον σοι ταύτην παρεφυλάξατο· σὺ
*virgin goddess (a)-virgin for-you her kept-safe you*
δὲ μὴ λήθην νοσήσῃς μήτε τῶν ἐπ' Αὐλικώμιδος, τῆς
*and not forgetfulness fall-sick-of neither of-the(-graces) at Aulikomis the*
ἐμῆς πατρίδος, πολλῶν χαρίτων ἐρωτικῶν, μήτε τῶν
*my fatherland many graces amorous nor of-the(-graces)*
ἐπ' Εὐρυκώμιδος, πατρίδος τῆς σῆς, μηδ' ὅτι διὰ
*at Eurykomis fatherland the your nor that because-of*
σὲ καὶ πατρίδος καὶ τεκόντων καὶ τῶν κατ' οἶκον
*you both fatherland and parents and the(-things) at home*
λαμπρῶν πάντων καταφρονήσασα θαλάσσης καὶ κυμάτων
*brilliant all having-despised sea and waves*
κατετόλμησα, διὰ σὲ θανάτου γευσαμένη πικροῦ καὶ
*I-dared because-of you death having-tasted bitter and*
τέλος αἰχμάλωτος καὶ δούλη νῦν, ὡς ὁρᾷς, καὶ ἐπὶ πᾶσι
*at-last captive and slave now as you-see and in all*
τὴν παρθενίαν ἀπαρεγχείρητος· καὶ νῦν ὁμόδουλος ἐπὶ
*the maidenhood unassailed and now fellow-slave to*

Δαφνήπολιν συνεκπλεύσω σοι. Ἔρρωσο, καὶ τὰς συνθήκας
*Daphnepolis will-sail-out-with you farewell and the compacts*
ἀπαρεγχειρήτους τηρῶν σωφρόνως ἀντιπαρθένευε.
*unassailed keeping temperately keep-virgin-in-turn*
10 Οὕτω τοίνυν εἶχε τὸ ἐπιστόλιον, οὗ πιστεύειν τοῖς
*thus therefore had the letter whose to-trust the*
γράμμασιν οὐ συνεχωρούμην τοῖς πράγμασι, καὶ τοῖς
*letters not I-was-allowed by-the facts and the*
πράγμασι πιστεύειν ἐθέλων οὐ συνεχωρούμην τοῖς γράμμασι·
*facts to-trust wishing not I-was-allowed by-the letters*
τὸ μὲν δὴ γράμμα πείθειν ἐμάχετο τὴν παιδίσκην
*the indeed truly letter to-persuade fought the maid*
Ὑσμίνην εἶναι καὶ τῆς Ὑσμίνης τὸ ἐπιστόλιον· ὅλον γὰρ
*Hysmine to-be and — of-Hysmine the letter whole for*
δρᾶμα τὸ καθ' ἡμᾶς ἀνεπλάττετο· τὸ δὲ τοῦ
*(a)-drama the concerning us it-pictured the(-thing) and of-the*
πράγματος καινὸν καὶ ὑπέρμεγα οὐ συνεχώρει μοι πιστεύειν
*matter novel and very-great not allowed me to-trust*
τῷ γράμματι. Δὶς οὖν καὶ τρὶς τὴν ἐπιστολὴν ἀναγνοὺς
*the letter twice then and thrice the letter having-read*
καὶ ὅλην καταφιλήσας αὐτὴν ἐξανέστην τῆς δάφνης, καὶ
*and whole having-kissed it I-rose from-the laurel and*
περὶ τὴν τράπεζαν γεγονὼς τὴν ὡς Ὑσμίνην παιδίσκην
*about the table having-come the as Hysmine maid*
ἀτενέστερον ἔβλεπον καὶ ὅλην περιειργαζόμην αὐτήν· ἡ
*more-intently I-looked-at and whole scrutinized her she*
δ' ἀντιβλέπουσα τοὺς ὀφθαλμοὺς ἐπληροῦτο δακρύων.
*and looking-back the eyes filled with-tears*
11 Καὶ οὕτω κατελύετο τὸ συμπόσιον. Καὶ κήρυξ δεσπότης
*and thus was-broken-up the banquet and (the)-herald master*
ἐμὸς σὺν δούλοις ἡμῖν ἐπὶ τὸ δωμάτιον γέγονεν, Ὑσμίνη
*my with slaves us to the chamber came Hysmine*

δ' ὡς δούλη τῇ Ῥοδόπῃ συνείπετο· καὶ οὕτως ἀπ'
*and as slave — with-Rhodope followed and thus from*
ἀλλήλων ᾠχόμεθα. Καὶ πάλιν πυκνοὶ λογισμοὶ τὴν ψυχήν
*each-other we-went-off and again thick thoughts the soul*
μου κατεμερίζοντο, καὶ πάλιν ἀναπτύξας τὸ γράμμα
*my divided-up and again having-unfolded the letter*
κατὰ Λάκαιναν κύνα καὶ νοῦν καὶ λέξιν ἀνώρυττον καὶ
*like (a)-Laconian hound both sense and diction I-dug-up and*
ὅλον κατιχνηλάτουν τὸ ἐπιστόλιον. Ὁ μὲν οὖν δὴ
*whole tracked-down the letter the indeed then indeed*
κήρυξ καὶ δεσπότης ἐμὸς ἀνακεκλιμένος κλίνῃ λαμπρᾷ
*herald and master my having-reclined on-(a)-couch brilliant*
καὶ μαλακῶς ἐσταλμένῃ καὶ ὅλος ὢν κατὰ κήρυκα καὶ
*and softly spread and wholly being like (a)-herald even*
μέχρι κλίνης αὐτῆς τοῖς ὕπνοις ἐσπείσατο· ἐγὼ δὲ σὺν
*to (the)-couch itself with-the sleeps made-truce I but with*
ὁμοδούλοις κατὰ δοῦλον ἀνακλιθεὶς κατὰ γῆν, τοῖς
*fellow-slaves as (a)-slave having-lain-down on (the)-ground by-the*
λογισμοῖς οὐ συνεχωρούμην ὑπνοῦν, καὶ ἦν μοι τὰ
*thoughts not was-allowed to-sleep and was for-me the(-hours)*
τῆς νυκτὸς ἡμέρα πρὸς ὕπνον καὶ γρήγορσιν.
*of-the night day as-to sleep and wakefulness*
Τῇ δ' ὑστεραίᾳ ὅλον ὁ κήρυξ περιθέμενος τὸ κηρύκειον 12
*on-the and next-day whole the herald having-put-on the herald's-staff*
καὶ ὅλος κήρυξ γενόμενος ἐπὶ τὸ ἱερὸν ἐγένετο τῆς
*and wholly herald having-become to the temple went —*
Ἀρτέμιδος· ἐγὼ δὲ περὶ τὸ δωμάτιον καταλέλειμμαι, καὶ
*of-Artemis I but about the chamber have-been-left-behind and*
τῇ πύλῃ παρακαθίσας καὶ τὴν ἐπιστολὴν ἀναπτύξας
*by-the gate having-sat-down and the letter having-unfolded*
ὅλους τοῖς γράμμασι κατεπεπήγειν τοὺς ὀφθαλμοὺς καὶ
*whole on-the letters I-had-fixed the eyes and*

ὅλον τὸ γράμμα τοῖς δάκρυσιν ἔπλυνον· ἡ δὲ τοῦ
*whole the letter with-the tears I-washed the and —*
Σωστράτου Ῥοδόπη περὶ τὸν κῆπον γενομένη (πρὸ
*of-Sostratos Rhodope about the garden having-come before*
γὰρ τῆς πύλης ἦν, ᾗ παρεκαθήμην αὐτὸς) καί με
*for the gate it-was at-which I-was-sitting myself and me*
βρεχόμενον ἰδοῦσα τοῖς δάκρυσι καὶ οἷον κατελεήσασα
*wetted having-seen with-the tears and as-it-were having-pitied(-me)*
"τί πάσχεις, τέκνον;" φησίν. Ἐγὼ δ' "οὐδὲν ἄλλο,
*what do-you-suffer child says I and nothing other*
δέσποινα" πρὸς αὐτήν, "ἀλλ' ἢ δοῦλος ἐξ ἐλευθέρων
*mistress to her except (that) (a)-slave from free(-parents)*
εἰμί, καὶ δούλιον ἦμαρ βλέπων πάσχω κακῶς." Ἡ δέ
*I-am and (the)-slavish day seeing I-suffer badly she and*
μοι καὶ γένος ἐζήτει μαθεῖν καὶ πατρίδα καὶ ὅπως
*from-me both race sought to-learn and fatherland and how*
δοῦλος ἐξ ἐλευθέρων γεγένημαι. Κἀγὼ πρὸς αὐτὴν "ἀλλὰ
*(a)-slave from free(-parents) I-have-become and-I to her but*
προτρέχει μου τοῦ λόγου τὸ δάκρυον, δέσποινα, καὶ
*runs-ahead-of my the speech the tear mistress and*
κατεπικλύζει μου τὴν γλῶσσαν καὶ κατακλυδωνίζει μου
*floods my the tongue and storm-tosses my*
τὴν ψυχὴν καὶ ὅλην ἐπέχει μου τὴν φωνήν. Εἰ γὰρ τὴν ἐν
*the soul and whole checks my the voice if for the in*
κακῷ τύχην ἐθέλεις ἰδεῖν, ὅλος ἐν σώματί σοι παρίσταμαι,
*evil fortune you-wish to-see wholly in body to-you I-stand-by*
ὅλον ἐνδεδυμένος τὸ δυστυχές, καὶ πρὸς ὅλην ἀπευκταίαν
*wholly clothed-in the misfortune and to whole abominable*
τύχην μεταπλασθεὶς καὶ στήλη δυστυχίας γενόμενος."
*fortune reshaped and (a)-monument of-misfortune having-become*

Ἡ δέ γε Ῥοδόπη μᾶλλον ἐζήτει τὰ κατ᾽ ἐμὲ καὶ 13
— *and at-least Rhodope more sought the(-things) concerning me and*
οἷον κατεδυσώπει ταῦτα μαθεῖν. Κἀγὼ πρὸς αὐτὴν
*as-it-were importuned these(-things) to-learn and-I to her*
“Εὐρύκωμίς μοι πατρίς, πατὴρ Θεμιστεὺς καὶ μήτηρ
*Eurykomis my fatherland father Themisteus and mother*
Διάντεια, τἆλλα μὲν εὐτυχεῖς, πλὴν ἐμοῦ τούτου παιδός,
*Dianteia otherwise indeed happy except me this child*
ὃν Ἔρως καὶ Τύχη καὶ Ποσειδῶν ἐξ εὐτυχοῦντος
*whom Eros and Fortune and Poseidon from happy*
δυστυχῆ, δοῦλον ἐξ ἐλευθέρου καὶ τρίδουλον ἐκ κήρυκος
*unhappy slave from free and thrice-a-slave from herald*
φέρουσι. Διασίων καιρὸς καὶ κήρυξ ἐγώ, καὶ κήρυξ οὐκ
*bring of-(the)-Diasia (the)-season and herald I and herald not*
ἐς τυχοῦσαν, ἀλλ᾽ ἐς Αὐλίκωμιν. Ὅπως μὲν οὖν με
*to (a)-chance(-city) but to Aulikomis how indeed then me*
κατέπαιζε τὸ δαιμόνιον, λαμπράς μοι προπομπὰς ὑφαῖνον
*mocked the divinity brilliant for-me escorts weaving*
καὶ θριάμβους πολυτελεῖς, περιττὸν ἂν εἴη καὶ λέγειν.
*and triumphs costly superfluous — would-be even to-tell*
Κήρυξ ἐς Αὐλίκωμιν ἥκω, καὶ τῷ Σωσθένει φιλοφρονοῦμαι,
*herald to Aulikomis I-come and — by-Sosthenes am-welcomed*
ἀνδρὶ τὰ πρῶτα τῶν ἐπ᾽ Αὐλικώμιδος φέροντι. Τῷ δ᾽ ἦν
*(a)-man the first of-those at Aulikomis carrying to-him and was*
παρθένος θυγάτηρ, μαίευμα Χαρίτων, Ἀφροδίτης κεστός,
*(a)-maiden daughter offspring of-(the)-Graces of-Aphrodite girdle*
δέλεαρ ἐρωτικὸν καὶ παγὶς Ἔρωτος ἄφυκτος. Ταύτῃ
*bait amorous and snare of-Eros inescapable with-her*
δὴ ταύτῃ τῇ θυγατρὶ τοῦ Σωσθένους ὅλῃ συνανεκράθην
*indeed with-her the daughter — of-Sosthenes whole I-was-blended*
ἐρωτικῶς, κἂν οὐδέν τι τῆς παρθενίας ἐλυμηνάμεθα.
*amorously even-if nothing at-all of-the maidenhood we-violated*

Γάμον ἕτερον ὁ πατὴρ κηρύσσει τῆς θυγατρός, ὃν
*(a)-marriage other the father proclaims for-the daughter which*
μηδὲ μέχρις αὐτῆς ἀκοῆς ἡμεῖς ἀνεχόμενοι φεύγομεν τὸν
*not-even to (the)-very hearing we bearing flee the*
γάμον καὶ τὸν γάμον ὠνούμεθα. Ναῦς ὑπηρετεῖ τῇ φυγῇ,
*marriage and the marriage we-buy (a)-ship serves the flight*
καὶ Ποσειδῶν ἐν κλύδωνι καὶ χεὶρ ἡ κυβερνήτου τὴν
*and Poseidon in (a)-surge and (the)-hand the of-(a)-helmsman the*
καλὴν ἐκείνην παρθένον ἀθλίων τούτων ἀφαρπάζει χειρῶν."
*fair that maiden wretched these snatches-from hands*

14 Ταῦτ' εἶπον καὶ ὅλος ὀλιγωθεὶς τὴν ψυχὴν καὶ ὅλος
*these(-things) I-said and wholly having-fainted (in)-the soul and wholly*
ἄφωνος γεγονὼς κατὰ γῆν ἐλεεινῶς ἐπεπτώκειν·
*voiceless having-become on (the)-ground pitiably had-fallen*
αἱ δὲ περὶ τὴν Ῥοδόπην περιχυθεῖσαί με καὶ ὅλον
*the(-women) and about — Rhodope having-poured-around me and whole*
συσχοῦσαί με καὶ περὶ τὸ δωμάτιον ἀγαγοῦσαί με περὶ
*having-held me and to the chamber having-led me on*
τὴν τοῦ δεσπότου κλίνην τοῦ κήρυκος ἀνακλίνουσι· καὶ
*the of-the master couch of-the herald lay(-me)-down and*
ἡ Ῥοδόπη τῇ κλίνῃ παρακαθίσασα ἥπτετό μου χειρῶν,
*— Rhodope by-the couch having-sat-down touched my hands*
ἀπεμάσσετο τοὺς ἱδρῶτας, ἐδάκρυεν, ὅλον ἐκοινοῦτό μοι
*wiped-off the sweats wept whole shared with-me*
τὸ δυστύχημα, τὴν ψυχὴν ἀνεκτᾶτό μου τὰς ῥῖνας
*the misfortune the soul revived my the nostrils*
μυρίζουσα, ὑγράν μοι χεῖρα κατεπετίθει τῷ στέρνῳ καί
*perfuming (a)-moist on-me hand laid on-the breast and*
μοι τὸ περικάρδιον ἔψυχε. Καὶ τέλος τὰς θεραπαινίδας
*my the (region)-about-the-heart cooled and at-last the maidservants*
κατασκορπίσασα πλὴν τῆς ὡς παιδίσκης Ὑσμίνης, καὶ
*having-scattered except the as maid Hysmine and*

ὅλον συναγαγοῦσά με κατεφίλησε καὶ φιλήσασα δακρύων
*whole having-gathered me kissed(-me) and having-kissed with-tears*
ἐπληρώθη τοὺς ὀφθαλμοὺς καὶ στενάζουσα βύθιον "ὦ Τύχη"
*was-filled (in)-the eyes and groaning deeply O Fortune*
φησὶ "μεταπλάττουσα τὰν βίῳ καὶ φύσεις ἀλλάττουσα·
*says refashioning the(-things)-in life and natures changing*
ὦ παῖ Διός, τύραννε Ἔρως, ψυχὰς κατατυραννῶν, τὸ
*O child of-Zeus tyrant Eros souls tyrannizing-over the*
ἐλευθέριον ἀφαιρούμενος καὶ τὴν δουλείαν ἀντιδιδούς," καί
*freedom taking-away and the slavery giving-in-exchange and*
μου τὴν κλῆσιν ἐζήτει μαθεῖν· ἐγὼ δ' ἀλλ' "ὦ δέσποινα, καὶ
*my the name sought to-learn I and but O mistress even*
ταύτην τὸ δαιμόνιον προσαφῄρηται· οὐδὲ γὰρ οὐδ' αὐτῆς
*this the divinity has-taken-away-besides not for even itself*
ἐφείσατό μοι τῆς κλήσεως, ἀλλ' ὡς ἐξ ἐλευθέρου δοῦλον
*spared me the name but as from free (a)-slave*
εἰργάσατο καὶ τὸ πικρὸν τῆς δουλείας τοῦ τῆς ἐλευθερίας
*made(-me) and the bitterness of-the slavery for-the of-the freedom*
ἀντέδωκε μέλιτος καὶ σκότος φωτὸς ἀντεισήγαγεν,
*gave-in-exchange honey and darkness for-light brought-in-instead*
οὕτω καὶ κλήσεως Ἑλληνικῆς βαρβαρικήν μοι κλῆσιν
*thus also for-(a)-name Greek (a)-barbarian on-me name*
ἀντεπιτέθεικεν, Ἀρτάκην ἀνθ' Ὑσμινίου μετακαλέσαν με·
*has-imposed-instead Artakes instead-of Hysminias having-renamed me*
καὶ νῦν ὅλος δοῦλός εἰμι καὶ κλήσει καὶ πράγματι."
*and now wholly slave I-am both in-name and in-fact*
Ταῦτ' εἶπον καὶ τὴν ὡς παιδίσκην Ὑσμίνην ὁρῶ ὅλην 15
*these(-things) I-said and the as maid Hysmine see wholly*
καταθρηνοῦσαν καὶ ὅλην καταδακρύουσαν. Καὶ ἡ Ῥοδόπη
*lamenting and wholly weeping and — Rhodope*
"τί πάσχεις, παιδίσκη;" φησίν. Ἡ δ' "αὐτοκασίγνητός μοι"
*what do-you-suffer maid says she and own-brother to-me*

φησὶν "ὁ νεανίσκος οὗτος, ὦ δέσποινα," καὶ περιπλακεῖσά
*says the young-man this O mistress and having-embraced*
με κατεφίλει καὶ ὅλον με συνεπλέκετο. Κἀγὼ δ'
*me kissed and whole me entwined I-too and*
ἀντεφίλουν περιπλακεὶς "Ὑσμίνη" λέγων "κασίγνητε,"
*kissed-back having-embraced(-her) Hysmine saying sister*
ἡ δ' "αὐτοκασίγνητε," καὶ πάλιν ἐφίλει με. Μόλις οὖν
*she and own-brother and again kissed me hardly then*
ἀλλήλων ἡμεῖς ἀπεπλάκημεν, τὸ πλάσμα πιστούμενοι·
*from-each-other we were-disentangled the fiction confirming*
καὶ ἡ Ῥοδόπη συνανεπλάκη μοι καὶ κατεφίλησε λέγουσα
*and — Rhodope embraced me and kissed(-me) saying*
"φιλῶ σε τῆς στοργῆς, καὶ τῆς φιλαδελφίας ἀσπάζομαι."
*I-love you for-the affection and for-the sisterly-love I-greet(-you)*
Παιδίσκη δέ τις περὶ τὸ δωμάτιον γενομένη φησὶ "σὸς
*maid and some to the chamber having-come says your*
πατήρ, δέσποινα, Σώστρατος καὶ κήρυξ δεσπότης τοῦδε
*father mistress Sostratos and (the)-herald master of-this*
τἀνδρὸς ἐπανήκουσι τοῦ βωμοῦ." Ἡ μὲν οὖν Ῥοδόπη
*man return from-the altar — indeed then Rhodope*
περὶ τὸν κῆπον ἐγένετο, τῆς ὡς ἐμῆς ἀδελφῆς Ὑσμίνης καὶ
*to the garden went the as my sister Hysmine and*
δούλης αὐτῆς ἑπομένης δουλοπρεπῶς. Ἐκ δὲ τῆς κλίνης
*slave her following slavishly from and the couch*
ἐγὼ κατὰ γῆν καὶ κατὰ λίθους, ὡς εἰκός, κατακέκλιμαι.
*I on (the)-ground and on stones as (is)-likely have-lain-down*
16 Ἦκεν ὁ δεσπότης, ἀνέστην ἐγώ· καὶ ὁ μὲν τὰ
*came the master rose I and the(-one) indeed the(-tasks)*
τῶν δεσποτῶν, ἐγὼ δὲ τὰ τῶν δούλων ὑπέχω.
*of-the masters I and the(-tasks) of-the slaves undergo*
Τράπεζα καὶ πάλιν πολυτελής, καὶ πάλιν ὁ κήρυξ, ὁ
*(a)-table and again costly and again the herald the*

δεσπότης, ἐπὶ τὴν τράπεζαν, καὶ πάλιν ὑπὸ τὸν δεσπότην
*master at the table and again under the master*
ὁ δοῦλος ἐγὼ καὶ ὅλος ὑπὸ τὸν κήρυκα. Πάλιν ἡ Ῥοδόπη
*the slave I and wholly under the herald again — Rhodope*
κιρνᾷ, πάλιν ἐγὼ τῇ δάφνῃ παρακαθίζω. Καὶ χαίρω
*mixes again I by-the laurel sit-down and I-rejoice*
μὲν τὴν Ὑσμίνην ὡς Ὑσμίνην ὁρῶν, ἀλλ᾽ ὀδυνῶμαι τὴν
*indeed — Hysmine as Hysmine seeing but I-am-pained (in)-the*
ψυχὴν καὶ ὅλον πολιορκοῦμαι τὸν νοῦν καὶ λογισμοῖς
*soul and wholly am-besieged (in)-the mind and by-thoughts*
ποικίλοις καταμερίζομαι, οἷς μέσοις ἡ τοῦ Σωσθένους
*varied am-divided-up in-whose midst the — of-Sosthenes*
θυγάτηρ, ἡ τῆς Ῥοδόπης ἐκ τύχης δούλη κἀμοῦ δεσπότις
*daughter the — of-Rhodope by fortune slave and-my mistress*
ἐξ ἔρωτος καὶ νῦν ἐκ πλάσματος ἀδελφή, Ὑσμίνη, τὸ φῶς
*by love and now by fiction sister Hysmine the light*
μοι τῶν ὀφθαλμῶν, ἣν ἐμὸς ἔρως ἐδουλογράφησεν εἰς
*to-me of-the eyes whom my love enrolled-as-slave to*
Ἀρτύκωμιν, ἥκει περὶ τὴν δάφνην, ἐγγύς μου παρακαθίζει,
*Artykomis comes to the laurel near me sits-down*
ἀνυποστόλως φιλεῖ, φιλοῦσα γελᾷ καὶ γελῶσά φησιν “ὡς
*unreservedly kisses kissing laughs and laughing says as*
ἀδελφόν σε φιλῶ καὶ ὡς ἐραστὴν περιπλέκομαι· ἀλλ᾽ οὐκ
*(a)-brother you I-kiss and as (a)-lover I-embrace but not*
ἐμόν σοι τοῦτο τὸ φίλημα· οὐχ ὡς ἐξ ἐρωμένης ἐμῆς
*mine to-you this the kiss not as from beloved my*
πρὸς ἐμὸν ἐραστήν, οὐχ ὡς ἐξ ἀδελφῆς πρὸς κασίγνητον,
*to my lover not as from (a)-sister to (a)-brother*
ἐκ δὲ δούλης πρὸς δεσπότιδος ἐραστήν. Ἐρᾷ σου
*from but (a)-slave to (her)-mistress's lover loves you*
Ῥοδόπη, δεσπότις ἐμή· μαστροπὸς ἐγώ, καὶ ἀποστολιμαῖον
*Rhodope mistress my go-between I and sent-by-another*

τὸ φίλημα· σὺ δέ μοι μὴ τύχαις ἀντιμετρήσαις τὸν
*the kiss you but me not by-fortunes may-you-measure-against the*
ἔρωτα, μὴ τὴν ἐλευθερίαν μεταδιώκων τῷ τῆς ἐλευθέρας
*love not the freedom pursuing by-the of-the free*
Ῥοδόπης ἔρωτι δουλωθῇς καὶ δουλωθῇς τὴν ψυχὴν
*Rhodope love be-enslaved and be-enslaved (in)-the soul*
φεύγων δούλωσιν σώματος, μή μου τῆς σῆς Ὑσμίνης
*fleeing enslavement of-(the)-body not from-me of-the your Hysmine*
ἀποβουκολήσῃς τὸν ἔρωτα· εἰ γάρ μου τὸ τοῦ προσώπου
*beguile-away the love if for my the of-the face*
κάλλος ἐξαπερρύη κατὰ ῥόδον Λοκρόν, ἀλλά μοι τὸ τῆς
*beauty has-flowed-away like (a)-rose Locrian but for-me the of-the*
παρθενίας κάλλος ἀμάραντον· κἂν δουλεύω τῷ σώματι,
*maidenhood beauty (is)-unfading even-if I-am-a-slave in-the body*
κατ᾽ οὐδὲν τῆς ψυχῆς ἐλυμηνάμην τὸ ἐλευθέριον· εἰ δὲ καὶ
*in nothing of-the soul I-violated the freedom if and also*
δούλη νῦν διὰ σὲ καὶ πρὸ δούλης αἰχμάλωτος καὶ πρὸ
*slave now because-of you and before slave captive and before*
τῆς τῶν βαρβάρων χειρὸς ἐξεσφενδονήθην εἰς θάλασσαν,
*the of-the barbarians hand was-hurled into (the)-sea*
οὐ τῆς ἐμῆς ἂν εἴη γλώσσης ταῦτα λαλεῖν."
*not of-the my — would-be tongue these(-things) to-say*

17 Ταῦτά μοι περιπαθῶς Ὑσμίνη σὺν δάκρυσιν ἔλεγεν· ἐγὼ
*these(-things) to-me passionately Hysmine with tears said I*
δὲ πρὸς αὐτὴν "Ὑσμίνη" καὶ λέγων ἐφίλησα καὶ φιλήσας
*and to her Hysmine also saying I-kissed(-her) and having-kissed*
ἐδάκρυσα καὶ δακρύσας "Ὑσμίνη" πάλιν φημί, "δοῦλος
*I-wept and having-wept Hysmine again I-say slave*
ἐγὼ διὰ σέ· καὶ χαίρω κοινούμενός σοι τὸ δούλιον,
*I(-am) because-of you and I-rejoice sharing with-you the slavery*
ὅτι σοι καὶ τὸ ἐλευθέριον ἐκοινωσάμην ἐρωτικῶς· καὶ
*because with-you also the freedom I-shared amorously and*

δοῦλος σὺν Ὑσμίνῃ θανεῖν εὐξαίμην ἢ μετὰ Ῥοδόπης
*(a)-slave with Hysmine to-die I-would-pray than with Rhodope*
ἐλεύθερος ἀθανατίζεσθαι. Τίς δέ σε βυθοῦ καὶ θαλάσσης
*free to-be-immortal who and you from-(the)-deep and from-(the)-sea*
ἀνήγαγε; τίς σε περὶ ταυτηνὶ μετήγαγε τὴν Ἀρτύκωμιν;" Ἡ
*brought-up who you to this-here brought-over — Artykomis she*
δ' ἀλλ' "οὐ τοῦ νῦν ἐστι ταῦτα καιροῦ· Ὑσμίνη δ' ἐγὼ
*and but not of-the present is these(-things) season Hysmine and I(-am)*
καὶ ζῶσα, κἂν αἰχμάλωτος διὰ σὲ καὶ δούλη νῦν, ὡς
*and living even-if captive because-of you and slave now as*
ὁρᾷς· ἡ δέ μοι δεσπότις, κἂν δεσπότις ἐστίν, ἀλλ' ἔπαθεν
*you-see the and to-me mistress even-if mistress is but has-suffered*
ἐρωτικῶς καὶ δούλη σοι πρὸς ἔρωτα γέγονε καί μοι τὰ
*amorously and (a)-slave to-you to love has-become and to-me the(-things)*
τοῦ πάθους θαρρεῖ, δούλης Ὑσμίνης τὸν ἀδελφὸν Ὑσμινίαν
*of-the passion confides of-(the)-slave Hysmine the brother Hysminias*
ἐρωτικῶς ζητοῦσα· καὶ δεσπότις οὖσα δουλεύει τοῖς Ἔρωσι."
*amorously seeking and mistress being is-a-slave to-the Loves*
Ταῦτ' εἶπε καὶ πάλιν ἐφίλει με καὶ πάλιν "οὐκ ἐμά 18
*these(-things) she-said and again kissed me and again not mine*
σοι ταῦτα" φησὶ "τὰ φιλήματα, Ῥοδόπης δὲ τῆς ἐμῆς
*to-you these says the kisses of-Rhodope but of-the my*
δεσποίνης, ᾗ δουλοπρεπῶς καθυπηρετῶ, διακομίζω σοι
*mistress whom slavishly I-serve I-convey to-you*
τὰ φιλήματα." Κἀγὼ πρὸς αὐτὴν "ὄντως Ὑσμίνη μοι
*the kisses and-I to her truly Hysmine to-me*
σύ· καταφιλῶ σου τὰ χείλη, κἂν ὁμοδούλου, κἂν
*you(-are) I-kiss your the lips even-if of-(a)-fellow-slave even-if*
ἀδελφῆς, κἂν ἐρωμένης ὦσι· καὶ φιλῶ τὰ φιλήματα πλὴν
*of-(a)-sister even-if of-(a)-beloved they-be and I-kiss the kisses however*
οὐχ ὡς Ῥοδόπης φιλήματα, ἀλλ' ὡς ταύτης τῆς Ὑσμίνης,
*not as of-Rhodope kisses but as of-this — Hysmine*

ἥν μοι Ζεὺς ἐμνηστεύσατο, ἣν βασιλεὺς Ἔρως παρέθετό
*whom to-me Zeus betrothed whom (the)-king Eros entrusted*
μοι ταύτῃ τῇ δεξιᾷ, ἧς Ποσειδῶν ἀπεσπάσατο,
*to-me to-this the right(-hand) from-which Poseidon tore(-her)*
καὶ νῦν πάλιν Ἔρως ἀντιπαρατίθησι βασιλεύς. Ῥοδόπη
*and now again Eros entrusts-back (the)-king Rhodope*
δ' ἐρρέτω καὶ Ῥοδόπης ἔρως καὶ εἴ τινα παρθένον
*and let-go-to-ruin and of-Rhodope (the)-love and if some maiden*
ἄλλην ἐν Ὑσμινίᾳ τούτῳ τῷ σῷ καταπαίζουσιν Ἔρωτες."
*other in Hysminias this the your mock (the)-Loves*
19 Ἡ δέ μοί φησι "κἂν μὴ φιλῇς, κἂν ἀπαναίνῃ τὸν
*she and to-me says even-if not you-love even-if you-refuse the*
ἔρωτα, κἂν τὰς συνθήκας τηρῇς, ἀλλὰ πλάττου μοι
*love even-if the compacts you-keep but feign for-me*
τὸν φιλοῦντα καὶ τὸν ἐραστὴν ὑποκρίνου μοι· καὶ ἴσως
*the(-one) loving and the lover play for-me and perhaps*
οὐκ εἰς κενὸν ἡμῖν οὐδ' ἀσυντελῆ τὰ τοῦ πλάσματος·
*not in vain for-us nor ineffectual(-are) the(-things) of-the fiction*
εἰ μὴ γὰρ οὐδὲν ἕτερον, ἀλλ' ἀνυποστόλως, ὡς δούλη,
*if not for anything else but unreservedly as (a)-slave*
συνομιλήσω σοι, ὡς ἀδελφὴ συμπλακήσομαι καὶ ὡς
*I-will-converse-with you as (a)-sister I-will-embrace(-you) and as*
μαστροπὸς διακομίσω σοι τὰ φιλήματα." Ἐγὼ δὲ πρὸς
*(a)-go-between I-will-convey to-you the kisses I and to*
αὐτὴν "ὡς οὐ καταψεύσομαί σου τὸν ἔρωτα καὶ τὰς πολλὰς
*her that not I-will-belie your the love and the many*
ἐκείνας συνθήκας ἀπαρεγχειρήτους παραφυλάξομαι, θεοὶ
*those compacts unassailed I-will-guard (the)-gods*
ἐπιμάρτυρες ἔστων· ἰδοὺ καθυπηρετῶ σοι τῷ πλάσματι καὶ
*witnesses let-be behold I-serve you in-the fiction and*
τὸν ἀδελφὸν ὑποκρίνομαι, τὸν δὲ σὸν ἐραστὴν ἀποπλάττομαι
*the brother I-play the and your lover I-unfashion*

καὶ τὸν τῆς Ῥοδόπης ἐραστὴν καταπλάττομαι. Σὺ δὲ
*and the — of-Rhodope lover I-fashion you and*
διακόμιζέ μοι φιλήματα καὶ εἴ τι τούτων ἐστὶν
*convey to-me kisses and if anything than-these is*
ἐρωτικώτερον ἕτερον· ἐγὼ δ' ἐν σοῖς τούτοις χείλεσι καὶ
*more-amorous other I and in your these lips and*
ὅσοις ἄλλοις τρυγᾶται βότρυς ἐρωτικὸς τὴν Ῥοδόπην
*in-as-many(-as) other is-gathered (a)-cluster amorous — Rhodope*
φιλήσω καὶ ὅλην ταύτην κατατρυγήσω τὴν ἄμπελον,
*will-kiss and whole this will-strip the vine*
τῆς σῆς ταύτης ἐμῆς Ὑσμίνης τὴν παρθενίαν φυλάττων
*of-the your this my Hysmine the maidenhood guarding*
ἀσύλητον καὶ μέχρι φιλημάτων ἀπαρεγχείρητον." Καὶ
*unplundered and even-to kisses unassailed and*
περιπλακεὶς καὶ ὅλην τὴν Ὑσμίνην καταφιλῶν "οὐ σοὶ
*having-embraced(-her) and whole — Hysmine kissing not to-you*
ταῦτα" λέγω "δίδωμι τὰ φιλήματα, τῇ δὲ σῇ δεσποίνῃ
*these(-things) I-say I-give the kisses to-the but your mistress*
Ῥοδόπῃ τοῖς σοῖς μοι τούτοις χείλεσι μεταπέμπομαι."
*Rhodope with-the your for-me these lips I-send*
Ἡ δ' ὥσπερ μετακομίζουσα τῆς δάφνης ἀπέδραμε καὶ 20
*she and as-if carrying(-them)-over from-the laurel ran-off and*
περὶ τὴν Ῥοδόπην ἐγένετο καὶ ἦν καταψιθυρίζουσα. Κἀγὼ
*to — Rhodope went and was whispering and-I*
τῆς δάφνης ἀνέστην, πρότερον καταμακαρίσας αὐτήν,
*from-the laurel rose first having-blessed it*
δάφνην ὀνομάζων ὄντως χρυσῆν, Ἀπόλλωνος σπέρμα,
*laurel calling(-it) truly golden of-Apollo (the)-seed*
ὠδίνημα γῆς, μνήμην Ἀφροδίτης καὶ παραμυθίαν
*(the)-birth-pang of-earth (a)-memorial of-Aphrodite and (a)-consolation*
Ἔρωτος. Ἡ μὲν οὖν Ῥοδόπη τὴν Ὑσμίνην εἶχε μέσον
*of-Eros — indeed then Rhodope — Hysmine had (as)-middle*

ὅρον πρὸς ἔρωτα καὶ μέσῃ ταύτῃ συνάγειν ἐδόκει τὸν
*boundary to love and in-the-middle her to-gather seemed the*
ἔρωτα, ἐγὼ δ' ὅλον ἔρωτα εἶχον αὐτήν, καὶ περὶ μέσην
*love I but whole love had her and about (the)-middle*
μου τὴν ψυχὴν τὸν τῆς Ὑσμίνης ὅλον συνήγαγον ἔρωτα.
*my the soul the — of-Hysmine whole gathered love*
21 Οὕτω μὲν οὖν μοι τὰ τῆς τραπέζης εἶχεν ἐρωτικῶς, καὶ
*thus indeed then to-me the(-things) of-the table went amorously and*
οὕτω κατελύετο τὸ συμπόσιον. Καὶ κήρυξ μὲν ὁ δεσπότης
*thus was-broken-up the banquet and (the)-herald indeed the master*
ἐμὸς περὶ τὸ δωμάτιον γέγονε καὶ ἦν ἀνακεκλιμένος καὶ τοῖς
*my to the chamber went and was reclining and to-the*
ὕπνοις ὡς ἐκ πολυτελοῦς τραπέζης εὐθὺς κατεσπένδετο. Ἐγὼ
*sleeps as from (a)-costly table at-once was-made-libation-to I*
δὲ περὶ τὸν κῆπον ἐγεγόνειν· καὶ πάλιν Ὑσμίνη καθυπηρετεῖ
*but to the garden had-gone and again Hysmine serves*
τῇ δεσποίνῃ πρὸς ἔρωτα, καὶ πάλιν ἥκει περὶ τὸν τῆς
*the mistress for love and again comes to the of-the*
δεσπότιδος ἐραστήν· πάλιν τὸν ἀδελφὸν περιπλέκεται, πάλιν
*mistress lover again the brother embraces again*
φιλεῖ, πάλιν μαστροπεύει, πάλιν διακομίζει φιλήματα. Κἀγὼ
*kisses again plays-go-between again conveys kisses I-too*
δ' ἀντιφιλῶ, περιπλέκομαι, τὸν ἀδελφὸν ὑποκρίνομαι, τὸν
*and kiss-back embrace the brother play the*
τῆς Ῥοδόπης ἐραστὴν κατασχηματίζομαι, καὶ ἀντιπέμπω
*— of-Rhodope lover put-on-the-guise-of and send-back*
φιλήματα, τὴν Ὑσμίνην ὡς δούλην ὑπηρετοῦσαν ἔχω καὶ
*kisses — Hysmine as slave serving have and*
ὅλον φανερῶς καθυποκλέπτω τὸν ἔρωτα.
*whole openly steal-under the love*

Ἡ δέ μοί φησιν “ἐκ Ῥοδόπης δεσποίνης ἐμῆς τοῦτό σοι 22
*she and to-me says from Rhodope mistress my this to-you*
τὸ ἐπιστόλιον” καὶ τῇ χειρί μου παρέθετο· κἀγὼ πρὸς
*the letter and into-the hand my placed(-it) and-I to*
αὐτὴν “Ὑσμίνη, σὲ μόνην δεσπότιν ἐξ Ἔρωτος κέκτημαι·
*her Hysmine you alone (as)-mistress from Eros I-have-acquired*
σῆς μόνης ἔρωτι πέπραμαι, σῇ γραφίδι δουλογραφοῦμαι
*of-your alone by-love I-have-been-sold by-your pen am-enrolled-as-slave*
καὶ δοῦλος Ἔρωτος γίνομαι, καί μοι τὸ δουλογραφεῖον
*and slave of-Eros become and to-me the slave-register*
γλυκύπικρον, ἀναπόνιπτον· σοὶ νίτρῳ τὸ κηρύκειον
*(is)-bittersweet indelible by-you (as)-soda the herald's-staff*
ἀπονένιμμαι· σοὶ τοιχωρύχῳ τὴν παρθενίαν ὅλην
*I-have-had-washed-off by-you (as)-housebreaker the maidenhood whole*
ἀποσεσύλημαι· ἑλεπόλει σοὶ τὴν πατρίδα πᾶσαν σὺν
*I-have-been-robbed-of by-(a)-siege-engine by-you the fatherland all with*
αὐτοῖς τοκεῦσιν ἀφήρημαι· τοίνυν αἰχμάλωτος καὶ δοῦλος
*(the)-very parents I-have-been-deprived-of therefore captive and slave*
νῦν, ὡς ὁρᾷς· ἃ πάντα χαίρω παθών, ὅτι σὲ τὴν ἐμὴν
*now as you-see which all I-rejoice having-suffered because you the my*
Ὑσμίνην Ἔρως μοι πάλιν ἐξ Ἅδου καινῶς ἀνεσώσατο.
*Hysmine Eros for-me again from Hades newly saved*
Τὸν δέ γε πρὸς Ῥοδόπην ἔρωτα καὶ μέχρι πλάσματος
*the and at-least toward Rhodope love even to fiction*
ὀκνῶ καὶ σκηνῆς· σοὶ γάρ, Ὑσμίνη, μόνῃ καὶ χάρισι
*I-shrink-from and to-acting to-you for Hysmine alone and to-graces*
σαῖς ὅλους ἐχαρισάμην τοὺς ὀφθαλμούς.” Ἡ δέ μοί φησι
*your whole I-have-given-in-favor the eyes she and to-me says*
“κἂν ἔρωτος γέμῃ σοι τὰ φιλήματα, κἂν ὡς σίμβλον φέρῃς
*even-if with-love are-full your the kisses even-if like (a)-hive you-carry*
τὸ στόμα, κἂν στάζῃ μοι μέλιτος, ἀλλ’ οὐ γλώσσῃ
*the mouth even-if drips for-me with-honey but not with-(the)-tongue*

μόνῃ τὸν ἔρωτα σέβομαι, ὅτι καὶ κέρδος μισῶ ζημίας
*alone the love I-revere because also gain I-hate of-loss*
μοι πρόξενον· σὺ μὲν γὰρ ἐκ κήρυκος κἀξ ἐλευθέρου
*for-me (the)-procurer you indeed for from herald and-from free*
δοῦλος καὶ δυστυχής· ὅτι δὲ δούλη κἀγώ, τοῦτο πάντως
*(a)-slave and unfortunate that and slave I-too this surely*
ὁρᾷς· εἰ δ' ἐξ ἐλευθέρων, εἰ δ' ἐξ εὐτυχῶν,
*you-see whether and from free(-parents) whether and from fortunate(-parents)*
σῆς γλώσσης ἔσται τοῦτο λαλεῖν. Ῥοδόπη δὲ δεσπότις ἐμὴ
*of-your tongue will-be this to-say Rhodope but mistress my*
καὶ σώζειν δυναμένη καὶ τὴν ἐλευθερίαν ἀποχαρίσασθαι."
*both to-save being-able and the freedom to-bestow*
23 Κἀγώ φημι πρὸς αὐτὴν "κἂν φύσει τὸ θῆλυ θερμότερον,
*and-I say to her even-if by-nature the female (is)-hotter*
κἂν φύσει τρεπτόν, ἀλλὰ κατὰ τὴν τραγῳδίαν ὅταν
*even-if by-nature changeable but according-to the tragedy when*

ἐς εὐνὴν ἠδικημένον κυρῇ,
*to (the)-bed wronged it-happens*
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα."
*not there-is other mind more-bloodthirsty*

Ἡ δ' ἀλλὰ μικρὸν ὑποσεσηρυῖα τὴν παρειὰν "μακάριόν
*she and but a-little having-grinned (in)-the cheek blessed*
μοι" φησὶ "τὸ τῶν ἀνδρῶν ἄτρεπτον καὶ πρὸς ἔρωτος
*to-me says the of-the men unchangeableness and toward of-love*
θέρμην ψυχρότερον.
*heat colder*

Τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν
*why for me grieves this when in-word having-died*
ἔργοισι σωθῶ κἀξενέγκωμαι κλέος;"
*in-deeds I-am-saved and-win glory*

## X · THE ORACLE AT DAPHNEPOLIS

*Rhodope writes offering Hysminias marriage and freedom for him and Hysmine, and he bids Hysmine answer her as kindly as she likes. Sostratos, Rhodope, and Hysmine sail with the herald to Daphnepolis, where the herald's wife assails Hysminias again. At the altar of Apollo the lovers' two fathers and two mothers lament their lost children until the oracle gives them back and commands the marriage; the herald and Sostratos claim their slaves by military law, until the priest rouses the crowd against the two masters, who beg Apollo's pardon and free them. Crowned as free, the lovers dine with the priest, who asks their story, and Hysminias puts it off until tomorrow.*

Ταῦτα δὴ ταῦτ' εἶπεν Ὑσμίνη περιπαθῶς καὶ 1
*these(-things) indeed these(-things) said Hysmine passionately and*
περιπλακεῖσά με κατεφίλησεν "Ὑσμινία" λέγουσα, "σῶσον
*having-embraced me kissed Hysminias saying save*
Ὑσμίνην τὴν σὴν καὶ πρὸ ταύτης σὲ τὸν ἐμὸν Ὑσμινίαν,"
*Hysmine the your and before her you the my Hysminias*
καὶ πάλιν ἐφίλει με καὶ φιλοῦσα κατεδυσώπει με
*and again kissed me and kissing implored me*

"πείσθητι" λέγουσα "καὶ τὸν ἐραστὴν ὑποκρίθητι, μή
*be-persuaded saying and the lover play not*
μοι δοκῆς ὑποκρίνεσθαι τὸ μὴ θέλειν ὑποκεκρίσθαι τὸν
*to-me seem to-pretend the not to-wish to-have-played the*
ἔρωτα." Πείθομαι τοίνυν καὶ ἀναπτύσσω τὸ ἐπιστόλιον·
*love I-am-persuaded therefore and I-unfold the letter*
τὸ δ' εἶχεν οὕτως·
*it and had thus*

2 ΡΟΔΟΠΗ ΠΑΡΘΕΝΟΣ ΣΩΣΤΡΑΤΟΥ ΘΥΓΑΤΗΡ
*RHODOPE MAIDEN OF-SOSTRATOS DAUGHTER*
ΥΣΜΙΝΙΑΙ ΤΩΙ ΕΡΑΣΤΗΙ ΧΑΙΡΕΙΝ.
*TO-HYSMINIAS THE LOVER GREETING*

Ὑσμινία, ὡς μὲν εὐδαίμων ἐγὼ καὶ πατρίδι καὶ γένει
*Hysminias that indeed fortunate I(-am) both in-fatherland and in-family*
καὶ τοῖς ἄλλοις ὅσοις θεωρεῖται τὸ εὔδαιμον, ἐκ
*and in-the other(-things) in-as-many-as is-seen the fortunate(-state) from*
πολλῶν ἔχεις μαθεῖν, μᾶλλον δ' αὐτά σοι παριστῶσι
*many(-things) you-can learn rather but themselves to-you present*
τὰ πράγματα· ὡς δ' ὅλον τὸν τῆς παρθενίας θησαυρὸν
*the facts that and whole the of-the maidenhood treasure*
καὶ μέχρις αὐτῶν ὀφθαλμῶν ἐφυλαξάμην ἀπαρεγχείρητον,
*even to (the)-very eyes I-kept unassailed*
Ἀρτέμιδος πηγὴ καὶ τόξον ἔλεγχός μοι σαφέστατος.
*of-Artemis (the)-spring and bow (are)-proof to-me clearest*
Σὺ δὲ καὶ δοῦλος ὢν (ἀλλὰ μή μου νεμεσήσῃς τῷ
*you and even slave being but not my be-indignant at-the*
ῥήματι) πηγαῖς Ἀφροδίτης ὅλην μου κατεπέκλυσας τὴν
*word with-springs of-Aphrodite whole my you-have-flooded the*
ψυχὴν καὶ βέλεσιν ἐρωτικοῖς κατετόξευσας· κἂν γοῦν
*soul and with-arrows amorous have-shot(-it)-down even-if at-any-rate*
παρθένος ἐγώ, κἂν εὐτυχής, κἂν περίδοξος, ἀλλὰ ταῦτα
*maiden I(-am) even-if fortunate even-if renowned but these(-things)*

πάντα σῆς φιλίας ἐρωτικῆς ἀνταλλάσσομαι καὶ πατρίδος
*all for-your friendship amorous I-exchange and for-fatherland*
ταύτης ἐμῆς περιφανοῦς Ἀρτυκώμιδος τὴν σὴν ἣν οὐκ
*this my illustrious Artykomis the your which not*
εἶδον Εὐρύκωμιν, ἐξ ἀδροῦ βαλαντίου καὶ χειρὸς ταύτης
*I-saw Eurykomis from (a)-full purse and hand this*
ἐμῆς, ἣ τὴν ἐπιστολὴν ἐγχαράττει σοι, ἐλευθερίαν σοι
*my which the letter engraves for-you freedom to-you*
χαριζομένη. Ὑσμίνην δέ, παιδίσκην ἐμὴν καὶ σὴν ἀδελφήν,
*granting Hysmine and maid my and your sister*
ἐλευθέραν ἔχεις ἐκ τούτου τοῦ γράμματος. Ἔρρωσο τὸν
*free you-have from this the letter farewell the*
τῆς Ῥοδόπης γάμον δουλείας ἀνταλλασσόμενος.
*— of-Rhodope marriage for-slavery taking-in-exchange*
Οὕτω τοίνυν ἔχουσαν ἀναγνοὺς τὴν ἐπιστολὴν πρὸς τὴν 3
*thus therefore being having-read the letter to —*
Ὑσμίνην φημὶ "ὅσα σοι δοκεῖ πρὸς χάριν Ῥοδόπης
*Hysmine I-say as-much-as to-you seems for (the)-favor of-Rhodope*
εἰπεῖν, ὡς ἐξ ἐμῆς ταῦτα φάθι φωνῆς. Εἰ δὲ καὶ
*to-say as from my these(-things) say voice if and also*
φιλεῖσθαι ζητεῖ, καταφίλησον, καὶ μετάθου φιλήματα,
*to-be-kissed she-seeks kiss(-her) and transfer kisses*
ὅσα τῶν ἐμῶν τούτων χειλέων ἔχεις πολλὰ στόματι
*as-many-as of-the my these lips you-have many in-(the)-mouth*
παρατεθειμένα τῷ σῷ· εἰ δ' οὐ μόνοις ἀρκεῖται φιλήμασιν
*deposited the your if but not with-alone she-is-content kisses*
οὐδ' ἐν χείλεσι παραμυθεῖται τὸν ἔρωτα, κατὰ δὲ τὰς
*nor on lips consoles the love like and the*
τῶν φοινίκων θηλείας πτόρθον ἐξ ἄρρενος φοίνικος περὶ
*of-the palms females (a)-shoot from (a)-male palm about*

μέσην αὐτῆς ζητεῖ τὴν ψυχήν, καταπράξομαί σοι καὶ
*(the)-middle her seeks the soul I-will-accomplish for-you even*
τοῦτο τῇ Ῥοδόπῃ διαπεμπόμενος."
*this — to-Rhodope sending(-it)-across*

4 Ταῦτα πρὸς τὴν Ὑσμίνην ἐγώ, καὶ πάλιν περιπλακεὶς
*these(-things) to — Hysmine I(-said) and again having-embraced*
αὐτὴν κατεφίλησα. Καὶ ἡ μὲν περὶ τὴν Ῥοδόπην
*her kissed and she indeed to — Rhodope*
ἐξέδραμεν, ἐγὼ δ' εἰσέδραμον περὶ τὸ δωμάτιον καὶ
*ran-out I and ran-in to the chamber and*
δουλικῶς κατακλιθεὶς περὶ γῆν ἐσπεισάμην τοῖς
*slavishly having-lain-down on (the)-ground made-truce with-the*
ὕπνοις, πεισθεὶς τῇ νυκτί. Καὶ πάλιν καθ' ὅλους αὐτοὺς
*sleeps persuaded by-the night and again through whole them*
τὴν Ὑσμίνην ἐδόκουν ὁρᾶν καὶ ταύτῃ συνέπαιζον· ὥσπερ
*— Hysmine I-seemed to-see and with-her played-together just-as*
γὰρ νοῦς πεινῶντος ἄρτον φαντάζεται καὶ ὕδωρ
*for (the)-mind of-(one)-hungering bread imagines and water*
ὄνειροι τῷ διψῶντι, οὕτως ἐρώσῃ ψυχῇ πάντα πρὸς
*(the)-dreams for-the thirsting thus for-(a)-loving soul all(-things) to*
ἔρωτα μεταπλάττεται, καὶ διαλογισμοὶ καὶ τὰ καθ' ὕπνους
*love are-refashioned both reasonings and the in sleeps*
φαντάσματα. Παρῆκεν ἡ νύξ, ὕπνοι παρείποντο τῇ νυκτὶ
*phantoms passed the night (the)-sleeps followed the night*
καὶ τοῖς ὕπνοις ὄνειροι· καὶ πάλιν ἧκε τὸ φῶς, καὶ τὸ
*and the sleeps (the)-dreams and again came the light and the*
γλυκὺ τῆς ἡμέρας ἐγέλασε· τῆς στρωμνῆς ἀνέστην ἐγώ,
*sweetness of-the day laughed from-the bed rose I*
περὶ τὸν δεσπότην ἐγενόμην καὶ ἤμην ὑπηρετῶν.
*to the master went and was serving*

Ἐφίσταται Σώστρατος καί φησιν "ἰδού σοι, κήρυξ, πᾶσα 5
*stands-by Sostratos and says behold for-you herald (the)-whole*
πόλις Ἀρτύκωμις πρὸ πυλῶν συνεκπλεῦσαι ζητοῦσά σοι
*city Artykomis before (the)-gates to-sail-out-with seeking with-you*
πρὸς Δαφνήπολιν· σὺ δέ μοι περιδύθητι τὸ κηρύκειον
*to Daphnepolis you and for-me put-on the herald's-staff*
καὶ ὅλος κήρυξ γενοῦ." Στεφανοῦται τὴν κεφαλὴν ὁ
*and wholly herald become is-crowned (on)-the head the*
κήρυξ, τῷ χιτῶνι καὶ τῷ πεδίλῳ κατακοσμεῖται, καὶ
*herald with-the tunic and with-the sandal is-adorned and*
ὅλον περιθέμενος τὸ κηρύκειον ἔξεισι τοῦ δωματίου. Καὶ
*whole having-put-on the herald's-staff goes-out from-the chamber and*
πάλιν ἡ πόλις ὀρθή, καὶ πάλιν ὀρχεῖται τὸ πλῆθος
*again the city (is)-on-its-feet and again dances the crowd*
καὶ τὸν προπεμπτήριον λαμπρὸν ὑφαίνει τῷ κήρυκι,
*and the escort(-song) brilliant weaves for-the herald*
οἷον καὶ τὸν εἰσιτήριον πολυτελῆ προεξύφανε· καὶ ἵνα
*such-as also the entrance(-song) costly it-wove-before and that*
τἀν μέσῳ παρῶ, τῆς νεὼς ἐπιβάντες ἐκεῖθεν
*the(-things)-in (the)-middle I-may-pass-over the ship having-boarded from-there*
ἀπέβημεν καὶ περὶ τὴν Δαφνήπολιν ἐγενόμεθα.
*we-disembarked and to — Daphnepolis we-came*
Ὁ μὲν οὖν δὴ κήρυξ καὶ δεσπότης ἐμὸς σὺν τοῖς ἐξ 6
*the indeed then indeed herald and master my with those from*
Ἀρτυκώμιδος συνεκπλεύσασιν ἐπὶ τὸν τοῦ Δαφνίου βωμὸν
*Artykomis having-sailed-out-with to the of-the Daphnian altar*
κατὰ τὸ εἰθισμένον τοῖς κήρυξι γέγονεν· ἐγὼ δὲ
*according-to the(-thing) customary for-the heralds went I but*
σὺν ὅσοι τῷ κήρυκι συνεξεπλεύσαμεν εἰς Ἀρτύκωμιν
*with as-many-as with-the herald sailed-out-together to Artykomis*
περὶ τὴν οἰκίαν τοῦ δεσπότου γεγόναμεν· καὶ πάλιν ἡ
*to the house of-the master went and again the*

δεσπότις ἐπ᾽ ἐμὲ τὸν δοῦλον οἰστρηλατουμένη καὶ οἷον
*mistress at me the slave goaded and as-it-were*
ἐκβεβακχευμένη τοῖς ἔρωσιν· ὅθεν ἀναιδῶς περιπλακεῖσά με
*frenzied by-the loves whence shamelessly having-embraced me*
φιλεῖν ἀπεμάχετο. Ἐγὼ δ᾽ ὅλον ἐξ αἰδοῦς κατεκαλυψάμην
*to-kiss strove I and whole from shame covered*
τὸ πρόσωπον, καὶ ᾐσχυνόμην νὴ τοὺς θεοὺς καὶ τὴν
*the face and was-ashamed by the gods and the*
κατατυραννοῦσάν μου δέσποιναν καὶ τὴν δούλην Ὑσμίνην
*tyrannizing-over me mistress and the slave Hysmine*
καὶ τὴν Σωφροσύνην αὐτήν. Ἀλλ᾽ ἡ δεσπότις ἐφείλκετό
*and — Temperance herself but the mistress dragged*
με τοῦ χιτωνίου· ἐγὼ δ᾽ ὁ δοῦλος οὐ μεθειλκόμην
*me by-the little-tunic I and the slave not was-dragged-along*
ἑλκόμενος, ἀλλ᾽ ὅλος ἀντέτεινον· καὶ ἦν ἀγὼν παρὰ
*being-dragged but wholly resisted and was (a)-contest between*
δεσποίνῃ καὶ δούλῳ καινός· ὁ μὲν γὰρ δὴ δοῦλος ἐγὼ
*mistress and slave novel the indeed for indeed slave I*
τὴν σωφροσύνην ἐλευθέραν ἐφιλονείκουν τηρεῖν, ἡ δέ μου
*the temperance free strove to-keep the and my*
δεσπότις κατεδουλοῦτο τοῖς Ἔρωσι καὶ ὅλον ἀπεμπολῆσαι
*mistress was-enslaved to-the Loves and whole to-sell-off*
τὸ ἐλευθέριον ἤθελεν. Ἀλλά τις ἐπανῆκεν ἐκ τοῦ βωμοῦ
*the freedom wished but someone returned from the altar*
καί φησιν “ὁ δεσπότης, ὦ δέσποινα·” καὶ σὺν τῷ λόγῳ
*and says the master O mistress and with the word*
περὶ τὴν πύλην ἡ δεσπότις ἐγένετο, τῶν δὲ ταύτης
*to the gate the mistress went the and her*

χειρῶν ὡς βαρβάρων ἀπηλλαττόμην αὐτός. Καὶ τοῦ ἔπους
*hands as of-barbarians was-freed-from I and the verse*
ἐμνήσθην καὶ τοῦτο προσφόρως κατετραγῴδησα λέγων
*I-remembered and this fittingly declaimed-in-tragic-style saying*

"ὦ πῶς ποτ', ὦ δέσποινα ποντία Κύπρι,
*O how ever O mistress of-the-sea Cypris*
βλέπουσιν εἰς πρόσωπα τῶν ξυνευνετῶν."
*they-look into (the)-faces of-the bedfellows*

Ἦκεν ὁ κήρυξ· συνείπετο Σώστρατος καὶ θυγάτηρ 7
*came the herald followed Sostratos and (the)-daughter*
Σωστράτου τῇ τῆς Ὑσμίνης ἀνεχομένη χειρί. Φιλοτιμοτάτη
*of-Sostratos by-the — of-Hysmine held-up hand most-lavish*
παρετίθετο τράπεζα· λαμπρῶς ὁ κήρυξ καὶ πολυτελῶς
*was-set-out (a)-table brilliantly the herald and sumptuously*
ἀνεκλίνετο, πρότερον ὅλον ἀποδυθεὶς τὸ κηρύκειον, καὶ
*reclined first whole having-put-off the herald's-staff and*
ἡ δεσπότις ἀναιδῶς κατεφίλει τὸν κήρυκα καὶ τούτῳ
*the mistress shamelessly kissed the herald and with-him*
συνανεκλίνετο, καὶ Σώστρατος Ῥοδόπῃ συνανεκλίνετο·
*reclined and Sostratos with-Rhodope reclined*
Καὶ ἦν τὸ δεῖπνον πολυτελές· καὶ δεσπόταις μὲν ἐμοῖς
*and was the dinner costly and for-masters indeed my*
καὶ Σωστράτῳ, τῷ τῆς Ῥοδόπης πατρί, δοῦλος Ὑσμινίας
*and for-Sostratos the — of-Rhodope father (the)-slave Hysminias*
ἐγὼ κιρνᾶν ἐγκελεύομαι· Ὑσμίνη δὲ τῇ Ῥοδόπῃ πρὸς
*I to-mix-(wine) am-ordered Hysmine and — to-Rhodope for*
πόσιν ὑπηρετεῖ, ἵνα μηδὲ μέχρι κύλικος καὶ χειρὸς τὸ
*drinking serves that not-even to (the)-cup and hand the*
σεμνὸν τῆς παρθενίας καταμολύνηται. Οὕτως ἐρωτικῶς
*solemnity of-the maidenhood be-defiled so amorously*

ἡμεῖς ἀνεκράθημεν καὶ τὸ φίλιον ὅλον ἐκοινωσάμεθα, ὡς
*we were-blended and the friendship whole we-shared so-as*
κοινώσασθαι καὶ τὸ δούλιον καὶ πρὸς ἓν καθυπηρετῆσαι
*to-share also the slavery and for one to-serve*
λειτούργημα.
*ministry*

8 Ἡ μὲν οὖν ἐμὴ δεσπότις τοῖς Ἔρωσι δουλογραφηθεῖσα
*the indeed then my mistress to-the Loves enrolled-as-slave*
τῇ κύλικί μοι προσέπαιζε καὶ κατέπαιζεν, ἢ μᾶλλον
*with-the cup with-me played and mocked(-me) or rather*
αὐτὴν ἐν ἐμοὶ καὶ κύλιξιν αὐταῖς κατέπαιζον Ἔρωτες· νῦν
*her in me and in-cups themselves mocked (the)-Loves now*
μὲν γὰρ ἐπέθλιβέ μου τὸν δάκτυλον, νῦν δ' ὅλην μου
*indeed for she-pressed my the finger now and whole my*
τὴν χεῖρα τῇ κύλικι συνεφείλκετο καὶ ἄλλ' ἄττα
*the hand with-the cup drew-along and other some(-things)*
κατέπαιζεν ἢ τοῖς Ἔρωσι κατεπαίζετο· ὧν δὴ πάντων ὡς
*mocked or by-the Loves was-mocked which indeed all as*
ἐκ πυρὸς φεύγων αὐτὸς Ὑσμίνῃ τῇ συνοινοχοευούσῃ
*from fire fleeing I with-Hysmine the(-one) pouring-wine-with(-me)*
συνέπαιζον, τῶν τῆς δεσποίνης παιγνίων τὰ τῆς δούλης
*played-together for-the of-the mistress games the(-games) of-the slave*
ἀνταλλασσόμενος· οἷς ἡ Ῥοδόπη συνένευε, καὶ τῇ δούλῃ
*exchanging to-which — Rhodope nodded-assent and to-the slave*
παίζειν ἐπένευε καὶ οἷον διὰ ταύτης ἐδόκει παίζειν αὐτή·
*to-play nodded and as-it-were through her seemed to-play herself*
πρὸς ἃ δὴ βλέπων αὐτὸς τὴν Ῥοδόπην μᾶλλον δούλην
*at which indeed looking I — Rhodope rather (as)-slave*
εἶχον Ὑσμίνης ὡς καθυπηρετοῦσαν εἰς ἔρωτα· καὶ οὕτως
*had of-Hysmine as serving to love and thus*

ἐν παιδιαῖς, ἐν ἔρωσιν, ἐν πολυτελέσι τρυφαῖς κατελύετο
*in games in loves in costly luxuries was-broken-up*
τὸ συμπόσιον, καὶ ἡμῖν ἐλύετο τὰ τοῦ λειτουργήματος.
*the banquet and for-us was-ended the(-duties) of-the service*
Ἡ μὲν οὖν Ὑσμίνη τῇ Ῥοδόπῃ παρείπετο καὶ ταύτῃ 9
*— indeed then Hysmine — to-Rhodope followed and with-her*
συνῴχετο, καὶ ἄμφω γεγόνασι περὶ τὸ δωμάτιον, ὃ
*went-off and both went to the chamber which*
τῷ Σωστράτῳ δεσπότης ἐμὸς ἀφωσίωσε, λαμπρῶς καὶ
*— to-Sostratos (the)-master my had-dedicated brilliantly and*
πολυτελῶς διακοσμησάμενος· ἐγὼ δὲ σὺν ὁμοδούλων
*sumptuously having-adorned(-it) I and with of-fellow-slaves*
χορῷ περὶ τὸ τῶν δούλων ἐγενόμην δωμάτιον, καὶ
*(a)-troupe to the of-the slaves went chamber and*
ἤμην συγκατακεκλιμένος τοῖς δούλοις καὶ συνδειπνῶν
*was lying-down-with the slaves and dining-with(-them)*
καὶ τέλος ὑπνῶν. Περὶ δὲ τρίτην φυλακὴν τῆς νυκτὸς
*and at-last sleeping about and (the)-third watch of-the night*
Σώστρατος σὺν Ῥοδόπῃ καὶ δεσπόταις ἐμοῖς περὶ τὸν
*Sostratos with Rhodope and masters my at the*
βωμὸν διανυκτερεύουσιν, Ὑσμίνη δὲ κἀγὼ τοῖς δεσπόταις
*altar pass-the-night Hysmine and and-I the masters*
κατὰ δούλους ἑπόμενοι σὺν αὐτοῖς δεσπόταις περὶ τὸν
*as slaves following with (the)-very masters at the*
βωμὸν καὶ τρίποδα καὶ δάφνην γεγόναμεν.
*altar and tripod and laurel arrived*
Θροῦς ἦν ἐν τῷ βωμῷ καὶ σύμμικτος βοὴ καὶ ἄσημος 10
*(a)-murmur was at the altar and mingled shouting and indistinct*
θόρυβος, καὶ θρῆνος ἦρτο καὶ κωκυτός· Θεμιστεὺς δέ
*uproar and (a)-lament had-risen and wailing Themisteus and*
μοι πατὴρ καὶ Σωσθένης, Ὑσμίνης πατήρ, τῶν θρήνων
*my father and Sosthenes of-Hysmine father the laments*

ἐξάρχουσιν, αἱ δέ γε μητέρες ἡμῶν καὶ λίθον, ὅ
*lead the and at-least mothers our even (the)-stone as*
φασι, τὸν ἀπὸ γραμμῆς κινοῦσι πρὸς δάκρυον, τί
*they-say the(-one) from (the)-line move to tears what*
μὲν οὐ λέγουσαι, τί δ' οὐ πράττουσαι τῶν ὅσα
*indeed not saying what and not doing of-the(-things) as-many-as*
πρὸς οἶκτον ἐφέλκουσι, τῶν ὅσα κινοῦσι πρὸς
*to pity draw of-the(-things) as-many-as move to*
ἔλεον, ἐλεειναὶ τὸ σχῆμα, τὴν γλῶσσαν ἐλεεινότεραι,
*compassion pitiable (in)-the bearing (in)-the tongue more-pitiable*
ἀλκυόνος πολυπενθέστεραι, ἀηδόνος θρηνητικώτεραι,
*than-(the)-halcyon more-mournful than-(the)-nightingale more-lamenting*
αὐτῆς Νιόβης μιμούμεναι τὸ πολύδακρυ, πρὸς θρῆνον
*herself than-Niobe imitating the many-tears in lament*
ἐρίζουσαι, καὶ ἄμφω νικῶσαι καὶ ἄμφω νικώμεναι,
*vying and both conquering and both conquered*
ἄμφω διαρρήσσουσαι τὰς ἐσθῆτας, ἄμφω τὰς παρειὰς
*both rending the garments both the cheeks*
αὐλακίζουσαι, ἄμφω καταδαπανῶσαι τὰ στέρνα, ἄμφω
*furrowing both wasting the breasts both*
τὸν τῆς κεφαλῆς ἀποκειρόμεναι βόστρυχον πενθίμῳ
*the of-the head cutting-off lock with-mourning*
κουρᾷ καὶ ἄμφω κόνιν καταπαττόμεναι. Ἡ μὲν γὰρ
*shearing and both dust sprinkling-on(-themselves) the indeed for*
δὴ μήτηρ ἐμὴ "Ἄπολλον, Ἄπολλον" ἀνεβόα περιπαθῶς,
*indeed mother my Apollo Apollo cried-out passionately*
οἷον κορυβαντιῶσα τοῖς θρήνοις καὶ καταβεβακχευμένη
*as-if raving-like-a-Corybant in-the laments and frenzied*
τοῖς δάκρυσιν, "ὠλώλειν, Φοῖβ' Ἄπολλον· τοῦ παντός
*in-the tears I-was-lost Phoebus Apollo of-the whole*
μοι γένους ἀπεκειράμην τὸν βόστρυχον. Λειμών μοι
*my race I-cut-off the lock (a)-meadow to-me*

παῖς εὐανθής, καὶ φυτηκόμος ἐγώ· ἀλλ' ὅλον αὐτὸν σὺν
*(my)-son flowering and gardener I but whole it with*
αὐτοῖς φυτοῖς, σὺν αὐτοῖς ἄνθεσιν ἀπεσυλήθην ἐλεεινῶς.
*(the)-very plants with (the)-very flowers I-was-robbed-of pitiably*
Πηγή μοι στάζουσα μέλιτος ὁ καλὸς ἐκεῖνός μοι παῖς,
*(a)-spring to-me dripping with-honey the fair that to-me son*
ἣν ὅλην ἀφήρημαι· καὶ αὖος ὅλη γεγένημαι καὶ
*which whole I-have-been-deprived-of and dry wholly I-have-become and*
ἀψινθίου σίμβλον εἰμί, ὅλη καταπικρανθεῖσα τῇ συμφορᾷ.
*of-wormwood (a)-hive I-am wholly embittered by-the misfortune*
Εὐάγκαλός μοι λιμὴν Ὑσμινίας ὁ παῖς, κἀγὼ δ' ὡς
*well-embracing to-me (a)-harbor Hysminias the son I-too and as*
ναῦς ἐν λιμένι νηνεμίαν ἦγον καὶ ἤμην ἀκύμαντος· νῦν
*(a)-ship in harbor calm kept and was waveless now*
δ' ὁ λιμὴν οὐδαμοῦ, κἀγὼ δ' ἡ ναῦς ἐν πελάγει μέσῳ
*but the harbor (is)-nowhere I-too and the ship in sea mid*
κατακλυδωνίζομαι τοῖς κύμασιν. Ἥλιον εἶχον τὸν παῖδα,
*am-storm-tossed by-the waves (the)-sun I-had the son*
καὶ νῦν τοῦ παιδὸς κρυβέντος ἀνήλιος ἡ μήτηρ ἐγώ,
*and now the son hidden sunless the mother I(-am)*
καὶ Κιμμερίαν τῆς ποτέ μοι πανηλίου πολυηράτου
*and (a)-Cimmerian(-land) for-the once to-me all-sunny much-beloved*
Εὐρυκώμιδος ἐκείνης ἀνταλλάσσομαι. Ἀστήρ μοι παῖς
*Eurykomis that I-take-in-exchange (a)-star to-me son*
ἐκεῖνος περιφανής, ἀλλ' ἀπεκρύβη, καὶ νὺξ ἀφεγγὴς τὴν
*that conspicuous but was-hidden and night lightless the*
μητέρα με κατεκάλυψε. Φῶς ἦν μοι παῖς ἐκεῖνος, ἀλλ'
*mother me covered (a)-light was to-me son that but*
ἀπεσβέσθη, καὶ νῦν ἐν σκότει πορεύομαι. Ζεύς, σὸς πατήρ,
*was-quenched and now in darkness I-walk Zeus your father*
Ἄπολλον, δάφνης στεφανώσας αὐτὸν κήρυκα πέμπει
*Apollo with-laurel having-crowned him (as)-herald sends*

λαμπρὸν ἐς ὀλλυμένην Αὐλίκωμιν· καὶ ἦν μοι τὸ μακάριον
*brilliant to perishing Aulikomis and was for-me the blessedness*
τῇ μητρὶ μέχρις ἐς αὐτὸν οὐρανόν, νῦν δέ μοι τὸ
*for-the mother as-far-as to (the)-very heaven now but for-me the*
δυστυχὲς μέχρις ἐς Ἅδου πύλας αὐτάς. Φυγὰς ὁ κήρυξ, ὁ
*misfortune as-far-as to of-Hades gates themselves (a)-fugitive the herald the*
δεσπότης δραπέτης, ὁ παρθένος αἰχμάλωτος Ἔρωτος· καὶ
*master (a)-runaway the virgin captive of-Eros and*
ἐπὶ πᾶσιν ἄπαις ἐγὼ θρηνῶ τὸν παῖδα, καὶ τὴν μητέρα
*on-top-of all childless I lament the son and the mother*
μᾶλλον καταθρηνῶ. Ἀλλ', ὦ παῖ καὶ κήρυξ καὶ δέσποτα,
*more I-lament but O son and herald and master*
πῶς σε θρηνήσω; πῶς σε καταστεφανώσω τοῖς δάκρυσιν;
*how you shall-I-lament how you shall-I-crown with-the tears*
Ὡς νεκρόν; ἀλλ' ἴσως Ζεὺς τῇ μητρί μοι ταύτῃ τῇ σῇ
*as dead but perhaps Zeus for-the mother my this the your*
σὲ τὸν παῖδα παρεφυλάξατο, καὶ ζῇς μὲν ἴσως, ἀλλ'
*you the son kept-safe and you-live indeed perhaps but*
ἴσως αἰχμάλωτος, καὶ δουλεύεις βαρβάροις ὁ φιλέλλην, ὁ
*perhaps captive and you-are-a-slave to-barbarians the Greek-lover the*
κήρυξ, ὁ δεσπότης πολλῶν. Ἀλλ', ὦ τρίπους καὶ δάφνη
*herald the master of-many but O tripod and laurel*
καὶ ἐπὶ τούτοις Ἄπολλον χρησμῳδέ, δέξαι μου ταύτας
*and on-top-of these Apollo oracle-singing receive my these*
τὰς χοὰς καὶ ἐπὶ τούτοις καὶ πρὸ τούτων τὸ δάκρυον,
*the libations and on-top-of these and before these the tear*
καὶ τὰ περὶ τὸν παῖδά μοι χρησμοδότει, καὶ εἴη
*and the(-things) concerning the son to-me give-oracle and may-be*
μοι τὸ χρησμῴδημα μὴ ἀπευκταῖον, ἀλλ' εὐκταιότατον.
*for-me the oracle not abominable but most-prayed-for*
Ἄπολλον ἀκειρεκόμη, τὴν ἐμὴν ἐλεεινῶς κεκαρμένην
*Apollo unshorn-haired the my pitiably shorn*

ἐλέησον κεφαλήν· Δάφνιε Ἄπολλον, Ὑσμινίου φεῖσαι
*pity head Daphnian Apollo Hysminias spare*
παιδός, σῆς δάφνης λαμπρῶς ποτε περιεστεμμένου
*(the)-son with-your laurel brilliantly once crowned-about*
τὴν κεφαλὴν καὶ νῦν τὴν ἐμὴν ταύτην οἰκτρὰν κεφαλὴν
*(on)-the head and now the my this piteous head*
Ἄδου κυνέῃ κατακαλύπτοντος."
*of-Hades with-(the)-cap covering*
Ταῦτα δὴ ταῦτα Διάντεια μήτηρ ἐμὴ καὶ λίαν 11
*these(-things) indeed these(-things) Dianteia mother my and very*
ἐλεεινῶς κατετραγῴδει, καὶ κατὰ θάλασσαν κατεκυματοῦτο
*pitiably declaimed-in-tragic-style and like (a)-sea surged*
τοῖς δάκρυσι καὶ ὅλον τὸ ἱερὸν κατεπέκλυζεν· ἡ δέ γε
*with-the tears and whole the temple flooded the and at-least*
τῆς ἐμῆς Ὑσμίνης μήτηρ Πανθία πικρὸν ἀντωδύρετο
*of-the my Hysmine mother Panthia bitterly lamented-in-answer*
"οἴμοι, τέκνον Ὑσμίνη" λέγουσα συνεχῶς, "ὄλωλάς μοι
*alas child Hysmine saying continually you-are-lost to-me*
τούτων ἀθλίων χειρῶν καί με τὴν σὴν μητέρα διώλεσας.
*from-these wretched hands and me the your mother you-have-destroyed*
Ὡς ὄρνις εὔπτερος ἐπτερύξω, καί μου τούτων ἐλεεινῶν
*like (a)-bird well-winged you-took-wing and from-my these pitiable*
ἀπέπτης χειρῶν. Ἀλλ' ὦ πτερύξεως ἐκείνης ἀγρίας, ἥ
*you-flew-away hands but O wing-beat that savage which*
μου τὸν λύχνον ἀπέσβεσε. Θάλαμός μοι σὺ καὶ χάλκεος
*my the lamp quenched (a)-chamber to-me you(-were) and (a)-bronze*
παρθενών· ἀλλ' ὤ μοι, τέκνον Ὑσμίνη, σὺν αὐτῷ θαλάμῳ,
*maiden's-room but alas for-me child Hysmine with (the)-very chamber*
σὺν αὐτῷ παρθενῶνι σὲ τὴν παρθένον ἀφήρημαι.
*with (the)-very maiden's-room you the maiden I-have-been-deprived-of*
Ὑψίκομός μοι κυπάριττος Ὑσμίνη μοι σύ, ἣν περὶ
*high-tressed to-me cypress Hysmine to-me you(-were) which about*

μέσην ἐμὴν ἐκηπευσάμην ψυχήν, λιπαίνουσα δρόσῳ
*(the)-middle my I-cultivated soul enriching with-dew*
παρθενικῇ καὶ τοῖς ἄλλοις καλοῖς· ἀλλ' ἐξ Εὐρυκώμιδος
*maidenly and with-the other fair(-things) but from Eurykomis*
πνεύσας τυφὼν ἀνέσπασε πρόρριζον. Οὐ κήρυξ ἦν ἐκεῖνος,
*having-blown (a)-typhoon tore(-it)-up by-the-roots not herald was that-one*
ἀλλ' ἄγριος θήρ, ὃς τὴν ἐμὴν Ὑσμίνην ἐλεεινῶν τούτων
*but (a)-savage beast who the my Hysmine from-pitiable these*
χειρῶν καὶ μέσων ἀφήρπασεν ἀγκαλῶν· ὅλον μου τὸ
*hands and from-mid snatched-away arms whole my the*
κειμήλιον ἀπεσύλησεν, ἐθέρισέ μου τὸν ἄσταχυν, τὸν βότρυν
*treasure robbed reaped my the ear-of-corn the cluster*
ἐτρύγησε καὶ τὴν ῥοδωνιὰν ἀπηνθίσατο. Στεφανίτης
*gathered and the rose-bed stripped-of-its-flowers crowned-victor*
ἐκεῖνος ὁ θὴρ ἦκεν εἰς Αὐλικώμιδα, καί μου τὴν κεφαλὴν
*that the beast came to Aulikomis and my the head*
ἀφῆκεν ἀπερικόσμητον, ἀφελόμενός μου τὸν στέφανον· ὅλον
*left unadorned having-taken-away my the crown wholly*
τὸν παρθένον ἐσχηματίσατο καὶ τὴν ἐμὴν παρθένον δολίως
*the virgin he-played and the my maiden craftily*
συνεφειλκύσατο· βέλος ἔπεμψέ μοι κατὰ ψυχῆς, καὶ νῦν ἐς
*drew-off (an)-arrow sent to-me against (the)-soul and now to*
βάθος ὀδυνῶμαι τὰ σπλάγχνα· κηφὴν ἐξ Εὐρυκώμιδος
*(the)-depth I-am-pained (in)-the entrails (a)-drone from Eurykomis*
ἀπηνὴς τὴν ἐμὴν ἀνεῖλεν Ὑσμίνην, τὴν γλυκεῖάν μοι
*harsh the my destroyed Hysmine the sweet to-me*
μέλιτταν, καί μου τὴν ψυχὴν ὅλην ἀψινθίας ἐπλήρωσε.
*bee and my the soul whole with-wormwood filled*
Μέγας ἄγριος ἀετὸς τὰς ἐπὶ σοὶ θυσίας, θυγάτριον, ἐξ
*(a)-great savage eagle the for you sacrifices little-daughter from*
αὐτῶν μου χειρῶν καὶ μέσης πυρᾶς ἀνηρείψατο, καὶ ἦν
*(the)-very my hands and mid pyre snatched and was*

μοι τὸ σημεῖον οὐκ ἀγαθόν. Καὶ νῦν εἰς ἔργον ἀπέβη τὰ
*to-me the sign not good and now into deed came-out the*
τοῦ Διὸς οἰωνίσματα. Πηγή μοι γλυκάζουσα σύ, τὸ
*— of-Zeus omens (a)-spring to-me sweetening you(-were) the*
πικρόν μοι τοῦ γήρως καταγλυκαίνουσα· ἀλλ' ὀχετηγός
*bitterness for-me of-the old-age sweetening-away but channel-digger*
τις ἐξ Εὐρυκώμιδος εἰς ἑτέραν ἀμάραν μετάγει σε, καὶ
*some from Eurykomis into another channel diverts you and*
ἡ ψυχή μου διψᾷ σε, καὶ ὡς καλλίρρουν πηγὴν ζητεῖ
*the soul my thirsts-for you and like (a)-fair-flowing spring seeks*
σε τὸ στόμα μου. Ἀλλ', ὦ τέκνον Ὑσμίνη, πῶς σε
*you the mouth my but O child Hysmine how you*
θρηνήσω; πῶς ἐλεεινῶς ἀποκλαύσομαι; Ὡς νεκράν; ἀλλὰ
*shall-I-lament how pitiably shall-I-bewail(-you) as dead but*
πῇ τέθαψαι γῆς; τίς σε τάφος καλύπτει καὶ ὅλην
*where have-you-been-buried of-earth what you tomb covers and whole*
τὴν τῶν χαρίτων κατακαλύπτει πηγήν; Ἀλλ' ἐφείσατό σου
*the of-the graces covers-over spring but spared your*
τῆς νεότητος θάνατος, καὶ τίς ἔχει σε πόλις ἐθέλω μαθεῖν,
*the youth death and what holds you city I-wish to-learn*
τὴν ἐμὴν Ὑσμίνην, τὴν παρθένον, τὴν καλλιπάρθενον.
*the my Hysmine the maiden the fairest-of-maidens*
Ἀλλ' ὁ τύραννος ἐκεῖνος, ἀλλ' ὁ θρασύς, ἀλλ' ὁ
*but the tyrant that but the bold(-one) but the(-one)*
τὸ κηρύκειον καταπαίζων καὶ ὅλον κατεψευσμένος αὐτὸ
*the herald's-staff mocking and wholly having-belied it*
τὴν σὴν παρθενίαν ἀποσεσύληκεν. Ὢ δεινῆς σκευωρίας, ὦ
*the your maidenhood has-robbed O terrible machination O*
δυστυχίας ἐμῆς, ὦ φυλακῆς ἀφυλάκτου, ὦ δολίου θηρὸς
*misfortune my O guard unguarding O crafty beast*
ἐκείνου δολίως κλέπτοντος καὶ ἀγρίως ἁρπάζοντος. Ἀλλ',
*that craftily stealing and savagely seizing but*

ὦ λαλοῦσα πηγὴ καὶ πρόμαντι δάφνη καὶ ἐπὶ πᾶσι
*O speaking spring and prophetic laurel and on-top-of all*
Φοῖβ' Ἄπολλον δέξαι ταύτας ἀθλίας χοάς, ἃς σπένδεταί
*Phoebus Apollo receive these wretched libations which pours*
σοι Πανθία, μήτηρ ἀθλία, ὑπὲρ Ὑσμίνης, ἀθλίας παιδός."
*to-you Panthia mother wretched for Hysmine wretched child*
12 Ταῦθ' αἱ μητέρες περιπαθῶς καὶ λίαν ὀδυνηρῶς
*these(-things) the mothers passionately and very painfully*
ἀπωδύροντο· οἱ δέ γε πατέρες ὀδυνηρότερον συνεπήχουν
*lamented the and at-least fathers more-painfully echoed-together*
καὶ συνεκόπτοντο "ὦ παῖδες, ὀλώλατε" λέγοντες, "ὑμῖν
*and beat-their-breasts-together O children you-are-lost saying with-you*
δ' ἡμεῖς συνολώλαμεν. Ἔρως ἐστράτευσε καθ' ὑμῶν
*and we have-perished-together Eros campaigned against you*
καὶ τὰς ἡμῶν καρδίας ἐπολιόρκησεν· Ἔρως τὴν ἐν ὑμῖν
*and the our hearts besieged Eros the in you*
πορφύραν τῆς παρθενίας ἐσύλησε, καὶ κατὰ κόχλον ἡμεῖς
*purple of-the maidenhood plundered and like (a)-murex we*
ἀπηράχθημεν· Ἔρως τὴν ὑμετέραν ῥοδωνιὰν ἀπηνθίσατο
*were-crushed Eros the your rose-bed stripped-of-its-flowers*
καὶ τὰς ἡμετέρας ψυχὰς ὅλας ἐνέπρησε καθ' αἱμασιάν·
*and the our souls whole burned like (a)-wall-of-thorns*
Ἔρως ἀφροδισίῳ πυρὶ τὴν τῆς νεότητος θέρμην ὑμῶν
*Eros with-Aphrodite's fire the of-the youth heat your*
ἐξεπύρωσε καὶ γεραιὰ σπλάγχνα πατέρων ἡμῶν εἰς
*set-ablaze and aged entrails of-fathers our to*
βάθος κατέκαυσε καὶ ἡμᾶς ἀπηνθράκωσεν. Ἔρως ὁ
*(the)-depth burned-down and us reduced-to-coals Eros the*
Διὸς παῖς ἐκστρατεύει κατὰ πατρὸς ἐν μέσῃ πανηγύρει
*of-Zeus son marches-out against (his)-father in mid festival*
Διός, ἐν μέσῃ τελετῇ καὶ Διασίοις αὐτοῖς· καὶ λάφυρον
*of-Zeus in mid rite and (the)-Diasia itself and (as)-booty*

ἁρπάζει τὸν κήρυκα, τὴν παρθενίαν ληίζεται καὶ ὅλον τὸν
*seizes the herald the maidenhood plunders and whole the*
παρθενῶνα πολιορκεῖ καὶ τὰς ἡμετέρας ὅλας κατασκυλεύει
*maiden's-room besieges and the our whole despoils*
ψυχάς. Ἐκ δάφνης ταύτης, Ἄπολλον, δάφνης τῆς σῆς
*souls from laurel this Apollo laurel the your*
παίδων ἡμῶν κατεστεφανώσαμεν κεφαλάς· ἀλλ' Ἔρως
*of-children our we-crowned (the)-heads but Eros*
ταύτας ἀπεστεφάνωσε καὶ σποδῷ τὰς τῶν πατέρων ἡμῶν
*these uncrowned and with-ashes the of-the fathers our*
κατεστεφάνωσε κεφαλάς. Ἄπολλον, Ἄπολλον, τὴν ἡμετέραν
*crowned heads Apollo Apollo the our*
ταύτην ἐλέησον πολιὰν καὶ τῷ πατρὶ συμμετάσχου κατὰ
*this pity gray-hair and with-the father take-part against*
πατραλοίου παιδός· δέξαι ταύτας ἱκετηρίους χοάς, ἃς
*(a)-father-striking son receive these suppliant libations which*
σπένδονταί σοι πατέρες ὑπὲρ παίδων ὀλλυμένων οἰκτρῶς
*pour to-you (the)-fathers for children perishing piteously*
ἐν ἔαρος ἀκμῇ, ἐν ἀτρυγήτῳ λειμῶνι καὶ μέσῃ νεότητι."
*in of-spring (the)-prime in (an)-ungathered meadow and mid youth*
Ταῦθ' αἱ μητέρες, ταῦθ' οἱ πατέρες ἡμῶν· τὸ δέ 13
*these(-things) the mothers these(-things) the fathers our the and*
γε παρεστὼς ἅπαν ἤλγησε τὴν ψυχήν, δακρύων
*at-least (crowd)-standing-by all grieved (in)-the soul with-tears*
ἐμεστώθη τοὺς ὀφθαλμούς, ἐκώκυσεν ὀλολύγιον. Ἐγὼ δὲ
*was-filled (in)-the eyes wailed (a)-cry I and*
περὶ τὴν Ὑσμίνην ἐλθὼν μεθειλκυσάμην αὐτὴν τῆς χειρὸς
*to — Hysmine having-come drew her by-the hand*
"Ὑσμίνη" λέγων, "ὁρᾷς;" ἡ δ' "ἀλλ' οὐ περιπτυξόμεθα
*Hysmine saying do-you-see she and but not shall-we-embrace*
τὰς μητέρας;" φησίν. Ἐγὼ δ' "ἀλλ' ἐπίσχες" εἶπον,
*the mothers says I and but hold-back I-said*

"ἐγκαρτερήσωμεν τῷ χρησμῷ." Καὶ δὴ καχλάζει τὸ
*let-us-hold-out for-the oracle and indeed bubbles the*
ὕδωρ, ὁ τρίπους ἠχεῖ, δάφνη μαντικὴ κατασείεται καὶ
*water the tripod sounds (the)-laurel prophetic is-shaken and*
οἷον ὅλη κατανεμοῦσθαι δοκεῖ. Ἐνθουσιῶσιν οἱ πρόσπολοι,
*as-it-were whole to-be-moved-to-and-fro seems are-inspired the attendants*
καὶ Φοῖβος μαντεύεται καὶ χρησμοδοτεῖ καὶ φοιβάζει καὶ
*and Phoebus prophesies and gives-oracles and speaks-inspired and*
καταφοιβάζει τὰ μέλλοντα· καὶ ἦν ὁ χρησμὸς τοὺς
*prophesies-of the(-things) to-come and was the oracle the*
παῖδας ἡμᾶς τοῖς τοκεῦσιν ἀποδιδοὺς καὶ κατεπισκήπτων
*children us to-the parents giving-back and enjoining*
τὸν γάμον· πρὸς ὃ δὴ φρίσσει τὸ παρεστώς, αἱ
*the marriage at which indeed shudders the (crowd)-standing-by the*
μητέρες θρηνοῦσιν ἐξ ἡδονῆς, οἱ πατέρες ὀρχοῦνται πρὸ
*mothers lament from pleasure the fathers dance before*
τοῦ βωμοῦ, καὶ ἡμεῖς ταῖς χερσὶν ἀλλήλοις συνδούμενοι
*the altar and we with-the hands to-each-other bound*
πρὸ τῶν τοῦ Φοίβου ποδῶν κυλινδούμεθα. Περιτρέχουσιν
*before the — of-Phoebus feet roll run-around*
ἡμᾶς αἱ μητέρες, ἁρπάζουσι, συμπλέκονται, περιπλέκονται,
*us the mothers seize entwine embrace*
φιλοῦσι, θρηνοῦσι καὶ συνέχουσιν ἀναπόσπαστα· μεθέλκονται
*kiss lament and hold(-us) inseparably draw-along*
τοὺς παῖδας ἡμᾶς οἱ πατέρες ἑτέρωθεν, ὅλην ἡμῖν
*the children us the fathers from-the-other-side whole with-us*
συμμεριζόμενοι τὴν ψυχήν. Παιανίζουσι χαριστήρια, ὑμνοῦσιν
*sharing the soul they-sing-paeans thank-offerings hymn*
εὐχαριστήρια, κροτοῦσι σωτήρια· χαίρει τὸ πλῆθος, εὐλογεῖ
*thanksgivings clap deliverances rejoices the crowd blesses*
τὸν Ἀπόλλωνα, καὶ τῆς δάφνης ἡμεῖς στεφανούμεθα.
*— Apollo and with-the laurel we are-crowned*

Κήρυξ δ' ὁ ποτὲ δεσπότης ἐμὸς καὶ Σώστρατος Ῥοδόπης 14
*(the)-herald but the once master my and Sostratos of-Rhodope*
πατὴρ ἡμῖν ἐπιτίθενται· διαρρήσσουσι τοὺς στεφάνους,
*father on-us set-upon rend the garlands*
ἀφειδῶς τὴν γλῶσσαν προπέμπουσιν, ἀπαίσια κινοῦσιν
*unsparingly the tongue they-send-forth ill-omened(-words) they-move*
αὐτήν· τὸν ἱερέα κακολογοῦσι καὶ δημηγοροῦσι τὰ
*it the priest they-revile and harangue-the-people-about the(-things)*
καθ' ἡμᾶς, ὡς ἐκ βαρβάρων χειρῶν ἡμᾶς ἀπεσπάσαντο
*concerning us that from barbarian hands us they-tore-away*
νόμῳ στρατιωτικῷ δουλογραφηθέντας αὐτοῖς· ὁ δέ
*by-law military enrolled-as-slaves to-them the and*
γε στεφανῶν ἡμᾶς ἱερεύς φησι πρὸς αὐτοὺς "εὖγε
*at-least crowning us priest says to them bravo*
τῆς νομοθεσίας ὑμῖν, ὡς δουλαγωγεῖτε τοὺς Ἕλληνας·
*for-the legislation to-you that you-enslave the Greeks*
ὑπέρευγε τῆς εὐσεβείας, ὡς δουλογραφεῖτε τοὺς κήρυκας.
*bravissimo for-the piety that you-enroll-as-slaves the heralds*
Ἀπόλλων χρησμοδοτεῖ καὶ τοῖς ἐλευθέροις ἀφοσιοῦται τὸ
*Apollo gives-oracles and to-the free consecrates the*
ἐλεύθερον, οἷς νόμος Ἑλλήνων πρότερον καὶ φύσις αὐτὴ
*freedom to-whom (the)-law of-(the)-Greeks before and nature itself*
τὴν ἐλευθερίαν ἀπεχαρίσατο· ἀντιχρησμοδοτεῖτε δ' ὑμεῖς,
*the freedom bestowed you-give-counter-oracles and you*
ἀντινομοθετεῖτε τοὺς ἐλευθέρους καταδουλούμενοι." Οἱ δ'
*you-counter-legislate the free enslaving they and*
"οὐχ ἡμεῖς" φασὶν "ἀντινομοθετοῦμεν, ἀλλ' αἰχμὴ καὶ νόμος
*not we say counter-legislate but (the)-spear and law*
τούτους ἐδουλογράφησε στρατιωτικός." Καὶ δὴ μεθεῖλκον
*these enrolled-as-slaves military and indeed they-dragged*
ἡμᾶς, ἡμεῖς δ' οὐκ ἀπεσπώμεθα τῶν τοῦ Φοίβου ποδῶν.
*us we but not were-torn-away from-the — of-Phoebus feet*

15 Καὶ πάλιν αἱ μητέρες ἐθρήνουν, οἱ πατέρες κατεδυσώπουν
*and again the mothers lamented the fathers implored*
καὶ γλώσσῃ καὶ δάκρυσι· καὶ ὁ ἱερεὺς ταῖς χερσὶν
*both with-tongue and with-tears and the priest with-the hands*
ἀπεμάχετο καὶ πείθειν οὐκ ἔχων ἀπεστεφανώθη τὴν
*fought-them-off and to-persuade not being-able uncrowned (in)-the*
κεφαλήν, ἀπεδύσατο τὸν χιτῶνα καὶ τὴν ἀρβύλην ἀπέθετο
*head put-off the tunic and the buskin laid-aside*
καὶ ἀναβὰς ἐπ᾽ ὀκρίβαντος Στεντόρειον πρὸς τὸ
*and having-mounted on (a)-platform Stentorian to the*
πλῆθός φησι "τί μάτην ὁ πολὺς ἄνθρωπος ἐπὶ τὸν
*crowd says why in-vain the much man to the*
τοῦ Δαφνίου συντρέχεις βωμόν; τί καταδυσωπεῖς
*of-the Daphnian do-you-run-together altar why do-you-implore*
τὸν Ἑκηβόλον χρησμοδοτεῖν; Ἔχεις τοὺς σεμνούς σοι
*the Far-shooter to-give-oracles you-have the august for-you*
τούτους νομοθέτας χρησμοδοτήσοντας. Ἅλις σοι τῶν
*these lawgivers to-give-oracles enough for-you of-the*
χρησμοδοτημάτων, ὦ Φοῖβ᾽ Ἄπολλον, ἅλις σοι τῶν
*oracles O Phoebus Apollo enough for-you of-the*
προμαντευμάτων, ἅλις σοι τῶν στεφανωμάτων." Πρὸς
*prophecies enough for-you of-the crownings at*
ἃ δὴ τὸ πλῆθος καταθορυβηθὲν θρασύνεται κατὰ
*which indeed the crowd thrown-into-uproar grows-bold against*
τῶν ἁρπαζόντων ἡμᾶς· οἱ δ᾽ εὐθὺς τῶν τοῦ Φοίβου
*those seizing us they and at-once of-the — of-Phoebus*
ποδῶν ἐφάπτονται σὺν ἡμῖν, ὡς τὸν περὶ ψυχῆς
*feet lay-hold with us as the(-race) for (their)-life*
τρέχοντες, καταδυσωποῦσι τὸν ἱερέα, ἱλάσκονται τὸν
*running implore the priest propitiate —*
Ἀπόλλωνα "σύγγνωθι" λέγοντες "Ἄπολλον, καὶ φρενὸς
*Apollo forgive saying Apollo both for-(our)-mind*

καὶ γλώσσης ἡμῖν,'' ἡμᾶς ἐλευθέρους ἀνακηρύττουσι,
*and for-tongue us us free proclaim*
τὰς ἑαυτῶν ἐλευθερῶσαι ζητοῦντες ψυχάς. Στεφανούμεθα
*the their-own to-free seeking souls are-crowned*
πάλιν ἡμεῖς, ἐλευθερίαν ἐπιγραφόμεθα καὶ τοῖς τοκεῦσιν
*again we freedom inscribe-for(-ourselves) and to-the parents*
ἀποδιδόμεθα· οἱ δ' ὅλοι πληρωθέντες ἡδονῆς καὶ χαρᾶς,
*are-given-back they and wholly having-been-filled with-pleasure and joy*
σῶστρα θύουσιν ὡς ἐπ' ἀναβιοῦσι παισίν, ᾄδουσιν
*thank-offerings-for-safety sacrifice as for revived children sing*
ἀναγώγια καὶ χορεύουσιν ἐπινίκια. Συνορχούμεθα τούτοις
*songs-of-return and dance victory-songs dance-with them*
ἡμεῖς καὶ παιανίζομεν ἐλευθέριον ἡλίκον οἷον ἐράσμιον.
*we and sing-the-paean of-freedom how-great how lovely*
Καλεῖ καὶ δείπνου καιρός, καὶ τῷ ἱερεῖ ξενιζόμεθα, 16
*calls also of-dinner (the)-time and by-the priest we-are-entertained*
καὶ ἦν τὸ δεῖπνον φιλοτιμότατον. Ἡ μὲν οὖν Ὑσμίνη
*and was the dinner most-lavish — indeed then Hysmine*
τοὺς ὀφθαλμοὺς αὐτῆς ἐξ αἰδοῦς ἀφῆκε τῇ γῇ, καὶ
*the eyes her from shame let-fall to-the ground and*
ταῖς τροφαῖς οὐ προσανεῖχεν οὐδὲ μέχρις * αὐτῶν·
*to-the foods not attended not-even to (lacuna) them*
ἐγὼ δ' ὥς τις Ὀλυμπιονίκης ἐξ ἡδονῆς καὶ χαρᾶς
*I but like some Olympic-victor from pleasure and joy*
ὀφθαλμοὺς μὲν καὶ χεῖρας εἶχον ἐπὶ τὴν τράπεζαν, στόμα
*eyes indeed and hands had on the table mouth*
δὲ καὶ λαιμὸν ἐχαρισάμην τοῖς βρώμασι, καὶ ὅλῳ τῷ
*but and throat gave-over to-the foods and with-whole the*
νῷ τὸν γάμον ἐνωπτριζόμην αὐτόν. Μετὰ γοῦν δὴ
*mind the marriage was-seeing-in-a-mirror itself after at-any-rate indeed*
πολλὰς καὶ ποικίλας καὶ πολυτελεῖς τὰς τροφάς, ὁ ἱερεὺς
*many and varied and costly the foods the priest*

ἀναστὰς τῆς τραπέζης καὶ τὸν χιτῶνα διαζωσάμενος καὶ
*having-risen from-the table and the tunic having-girded-up and*
γυμνώσας τὼ χεῖρε πρὸς πότον ἡμῖν ὑπηρέτησε "τοῦτο
*having-bared the (two)-hands for drinking us served this*
πόμα" λέγων "Σωτῆρος Ἀπόλλωνος." Πίνουσι μὲν οὖν
*drink saying of-(the)-Savior Apollo drink indeed then*
οἱ πατέρες ἡμῶν καὶ μετ' αὐτοὺς αἱ μητέρες "χάρις σοι"
*the fathers our and after them the mothers thanks to-you*
λέγοντες, "Ἄπολλον, τῆς καλῆς ταύτης παρακαταθήκης,
*saying Apollo for-the fair this deposit*
ἣν παρακατέθου τοὺς παῖδας ἡμῖν." Καὶ μετ' αὐτοὺς ἡμῖν
*which you-entrusted the children to-us and after them with-us*
ἐκοινώσατο τὸ ποτήριον "Ἀπόλλων" λέγων "ὑμῖν κοινοῦται
*shared the cup Apollo saying to-you shares*
τὸ πόμα, ὃς καὶ τὸν γάμον ἐπισκήπτει χρησμοδοτῶν,
*the drink who also the marriage enjoins giving-oracles*
δωρεῖται τὸ ἐλευθέριον καὶ ὅλον κοινοῦται τὸ ζώσιμον."
*bestows the freedom and whole shares the lifegiving(-cup)*
17 Ταῦτ' εἰπὼν συνανεκλίθη καὶ πάλιν "ἡμῖν" φησίν,
*these(-things) having-said reclined-with(-us) and again to-us says*
"Ὑσμινία νυμφίε (ταύτην γάρ σοι τὴν κλῆσιν Ἀπόλλων
*Hysminias bridegroom this for to-you the name Apollo*
φοιβάζων ἀπεχαρίσατο), μὴ φείσῃ λέγων τὰ καθ'
*prophesying bestowed not spare telling the(-things) concerning*
ὑμᾶς ἀρχῆς ἀπ' ἄκρης καὶ μέχρις ἄκρης αὐτῆς
*you of-(the)-beginning from (the)-top and to (the)-top of-(the)-very*
τελευτῆς." Ἐγὼ δὲ πρὸς αὐτὸν "ὅλους ἀνάπτεις μοι
*end I and to him whole you-kindle for-me*
κρατῆρας πυρὸς καὶ μυρμηκιάν μοι τραγῳδημάτων
*bowls of-fire and (an)-ant-hill for-me of-tragedies*
ἀναστομοῖς." Ὁ δ' "ἀλλὰ μὴ φείσῃ μοι" φησὶ "πρὸς
*you-open-up he and but not spare me says by*

Ἀπόλλωνος μηδενός, πρὸς ἐλευθερίας αὐτῆς καὶ νυμφῶνος,
*Apollo anything by freedom itself and bride-chamber*
ὅν σοι λαμπρὸν Ἀπόλλων ἐνυμφοστόλησεν.” Ἐγὼ δὲ
*which for-you brilliant Apollo furnished-as-bridal I and*
πρὸς αὐτὸν “σύγγνωθι, δέσποτα· ὅλην γὰρ ἐξ αἰδοῦς
*to him forgive master whole for from shame*
κατατεθορυβημένος εἰμὶ τὴν ψυχὴν καὶ ὅλον τεταραγμένος
*thrown-into-confusion I-am (in)-the soul and wholly disturbed*
τὸν νοῦν· ἐς νέωτα δέ σοι τὰ τῆς διηγήσεως
*(in)-the mind for tomorrow and to-you the(-things) of-the narrative*
ταμιεύσομαι.”
*I-will-store-up*
Πείθω τὸν ἱερέα, καὶ λύεται τὸ συμπόσιον καὶ ἡμεῖς 18
*I-persuade the priest and is-broken-up the banquet and we*
γινόμεθα περὶ τὰ δωμάτια· Θεμιστεῖ γάρ μοι πατρὶ καὶ μητρὶ
*go to the chambers to-Themisteus for my father and mother*
Διαντείᾳ κἀμοὶ δωμάτιον ἓν ὁ ἱερεὺς ἀφωσίωσε καὶ κλίνας
*Dianteia and-to-me chamber one the priest dedicated and couches*
τρεῖς παρὰ τούτῳ λαμπρὰς ὑπεστρώσατο, αἷς ἡμεῖς
*three by it brilliant spread on-which we*
ἀνακλιθέντες πρὸς ὕπνον ἐτράπημεν· Σωσθένει δὲ καὶ Πανθίᾳ
*having-lain-down to sleep turned to-Sosthenes and also Panthia*
καὶ τῇ τούτων Ὑσμίνῃ παιδὶ δωμάτιον ἕτερον. Καὶ οὕτως
*and the their Hysmine child chamber another and thus*
ἡμεῖς ἀπ᾽ ἀλλήλων γενόμενοι τὴν νύκτα παρεμετρήσαμεν.
*we from each-other having-gone the night measured-out*

*Next day Hysminias tells the priest his story, from the lot at the Diasia to his enslavement by lot at Daphnepolis and the embassy to Artykomis. Sosthenes rebukes Hysmine's silence, and she tells of the dolphin, the winged boy who set her ashore, a passing ship, more pirates, and her enslavement to Rhodope. At Artykomis she floats crowned on Artemis' spring, a proven virgin, and the wedding is held in Sosthenes' garden at Aulikomis. Calling on Zeus, Poseidon, and Earth, Hysminias commits the lovers' story to writing and titles the book.*

1 Τῇ δ' ὑστεραίᾳ πάλιν ἐπὶ τὸν βωμὸν γενόμενοι,
*on-the and next-day again to the altar having-gone*
δάφνης ἐστεφανωμένοι τὰς κεφαλὰς ἐπανηγυρίζομεν
*with-laurel crowned (on)-the heads we-celebrated*
ἐλευθέρια, ἐπαιανίζομεν ἐπινίκια, ἐπεκροτοῦμεν σωτήρια,
*(the)-festival-of-freedom sang-paeans victory-songs applauded deliverance*
ὅλας ἑκατόμβας Ἀπόλλωνι θύοντες· τὸ δέ γε πλῆθος,
*whole hecatombs to-Apollo sacrificing the and at-least crowd*
ὅσον εἶχεν οὐκ εὐαρίθμητον ὁ βωμός, πρὸς ἡμᾶς εἶχε
*as-much-as held not easily-counted the altar toward us had*
τοὺς ὀφθαλμοὺς καὶ τοῖς δακτύλοις παρεσημαίνετο· καὶ ἦν
*the eyes and with-the fingers pointed(-us)-out and was*
τὸ καθ' Ὑσμίνην καὶ Ὑσμινίαν ἡμᾶς ἀνὰ πᾶσαν γλῶσσαν
*the about Hysmine and Hysminias us through every tongue*
διήγημα κείμενον, καὶ ἦν Ἀπόλλων ἐφ' ἡμῖν εὐλογούμενος.
*story lying and was Apollo for us blessed*
2 Πάλιν οὖν ἀρίστου καιρός, καὶ πάλιν δεῖπνον ὁ ἱερεὺς
*again then of-breakfast (the)-time and again (a)-dinner the priest*
λαμπρὸν ἑτοιμάζεται, καὶ πάλιν ἡμᾶς φιλοφρονεῖται
*brilliant prepares and again us welcomes*
πολυτελῶς. Ἐπεὶ δὲ πέρας ἔχει τὰ τῆς τραπέζης, ὁ τὸ
*sumptuously when and end has the(-things) of-the table the the*

δεῖπνον ἑτοιμασάμενος ἱερεὺς τὰ καθ᾽ ἡμᾶς ἐζήτει καὶ
*dinner having-prepared priest the(-things) concerning us sought also*
πάλιν μαθεῖν καὶ ἦν ἀμεταθέτως ἐγκείμενος· ἐγὼ δ᾽ ἀλλὰ
*again to-learn and was unalterably pressing I and but*
κἂν ἠσχυνόμην, κἂν ὤκνουν, κἂν ἔφριττον, ἀλλ᾽ ἄκων
*even-if I-was-ashamed even-if I-hesitated even-if I-shuddered but unwilling*
ἀπεδυσάμην πρὸς τὴν διήγησιν, καὶ ἐπέλειπεν ἡ φωνή μου
*I-stripped for the narrative and failed the voice my*
καὶ ἐπείχετο ἡ γλῶσσα· ἄρχομαι δ᾽ ὅμως λεπτῇ τῇ φωνῇ
*and was-checked the tongue I-begin but nevertheless with-thin the voice*
"Πατὴρ μέν μοι Θεμιστεὺς οὗτος καὶ μήτηρ Διάντεια, οὓς 3
*father indeed my Themisteus (is)-this and mother Dianteia whom*
σὺ ξενίζεις φιλοτιμότατα, πόλις δ᾽ Εὐρύκωμίς μοι πατρίς,
*you entertain most-lavishly (the)-city and Eurykomis my fatherland*
παρ᾽ ᾗ βωμὸς Ξενίου Διὸς καὶ τελετὴ τὰ Διάσια. Καὶ
*in which (the)-altar of-Xenian Zeus and (the)-rite the Diasia and*
κῆρυξ ἐγὼ κληρούμενος τὸ κηρύκειον, καὶ κῆρυξ οὐκ ἐς
*herald I being-allotted the herald's-staff and herald not to*
τυχοῦσαν, ἀλλ᾽ ἐς Αὐλίκωμιν, στεφανοῦμαι τῆς δάφνης.
*(a)-chance(-city) but to Aulikomis am-crowned with-the laurel*
Ἥκω περὶ τὴν κληρωθεῖσάν μοι πάντως πολυτελῶς,
*I-come to the(-city) allotted to-me wholly sumptuously*
ὅτι καὶ Διὸς τὸ κηρύκειον καὶ Διασίων κῆρυξ ἐγώ.
*since both of-Zeus the herald's-staff and of-(the)-Diasia herald I(-was)*
Τῷ Σωσθένει ξενίζομαι τουτῳί, πολυτελῶς ὑποδέχομαι,
*— by-Sosthenes I-am-entertained this-one-here sumptuously am-received*
φιλοφρονοῦμαι λαμπρῶς. Εἰσάγει γάρ με περὶ τὸν κῆπον·
*am-welcomed brilliantly he-leads-in for me to the garden*
ἐν μέσῳ τούτῳ τὰ τῆς τραπέζης μοι παρατίθεται,
*in mid this the(-things) of-the table for-me are-set-out*
ἐγγύς μοι τοῦ λειμῶνος τὰ τῆς στρωμνῆς ἑτοιμάζεται·
*near for-me the meadow the(-things) of-the bed are-prepared*

Ὑσμίνῃ ταύτῃ τῇ θυγατρὶ Σωσθένης οὗτος ὁ ταύτης πατὴρ
*to-Hysmine this the daughter Sosthenes this the her father*
οἰνοχοεῖν ἐγκελεύεται· ἡ δ᾽ οἰνοχοεύει τῷ πατρὶ πειθομένη.
*to-pour-wine orders she and pours-wine for-the father obeying*
4 Τέλος ἔχει τὰ τῆς τραπέζης, καὶ νίπτει μου τοὺς πόδας
*end has the(-things) of-the table and washes my the feet*
Ὑσμίνη, παρθένους πόδας παρθένοις χερσίν. Ἀνακλίνομαι
*Hysmine virgin feet with-virgin hands I-lie-down*
τῇ στρωμνῇ κατὰ παρθένον ἀνέτως τοῖς ὕπνοις
*on-the bed as (a)-virgin at-ease to-the sleeps*
σπενδόμενος. Ἀνίσταμαι μεθ᾽ ἡμέραν, γίνομαι περὶ τὸν κῆπον,
*making-libation I-rise by day go to the garden*
θαυμάζω τοῦτον τῆς τῶν φυτῶν συστοιχίας καὶ τῶν ἄλλων
*admire it for-the of-the plants rows and of-the other*
καλῶν, περὶ τὸ τοῦ κήπου θριγγίον μετάγω τοὺς ὀφθαλμοὺς
*fair(-things) to the of-the garden wall I-turn the eyes*
καὶ μετὰ δή τινας γραφὰς θρόνον χρυσοῦν γεγραμμένον
*and after indeed some paintings (a)-throne golden painted*
ὁρῶ, μειράκιον ἐπὶ τῷ θρόνῳ γυμνόν, ὁπλοφόρον, πυρφόρον,
*I-see (a)-youth on the throne naked arms-bearing fire-bearing*
τὼ πόδε πτερωτόν, τὸ πρόσωπον χάριεν. Τούτῳ δὴ
*(in)-the (two)-feet winged (in)-the face charming to-this indeed*
τούτῳ τῷ μειρακίῳ δουλοπρεπῶς παρειστήκεισαν βασιλεῖς,
*to-this the youth slavishly stood-by kings*
δυνάσται καὶ τύραννοι, θῆρες καὶ θηρῶν βασιλεῖς, ἅπαν
*potentates and tyrants beasts and of-beasts kings every*
γένος πτηνῶν, ἅπαν γένος θαλάσσης, καὶ φασματώδεις δύο
*race of-birds every race of-sea and phantom-like two*
γυναῖκές τινες, ὑπὲρ γυναῖκας τὸ μῆκος, τὴν ῥυτίδα
*women some beyond women (in)-the height (in)-the wrinkle*
πέμπελοι καὶ τριπέμπελοι. Ἡ μὲν λευκὴ τὰ πάντα,
*aged and thrice-aged the(-one) indeed white (in)-the all(-things)*

τὸ πρόσωπον, τὴν τρίχα καὶ τὸ χιτώνιον, χεῖρας καὶ
*(in)-the face (in)-the hair and (in)-the little-tunic hands and*
πόδας καὶ τἆλλα τοῦ σώματος· ἡ δὲ τὰ πάντα
*feet and the-rest of-the body the(-other) and (in)-the all(-things)*
μέλαινα, τὴν ὄψιν, τὰς χεῖρας, καὶ μέχρι ποδῶν ἐκ
*black (in)-the look (in)-the hands and to feet from*
κεφαλῆς, καὶ μέχρις ὀνύχων αὐτῶν. Ἃ δὴ κατεθορυβήθην
*head and to nails themselves which indeed I-was-confused*
ἰδὼν καὶ νοῦ πλάσμα καὶ τέχνης ζωγράφου τὴν καινὴν
*having-seen and of-mind (a)-fiction and of-art of-(a)-painter the novel*
ταύτην ἐλογιζόμην γραφήν. Ἀλλ᾽ ἦν ὑπὲρ τὴν τοῦ μειρακίου
*this I-reckoned painting but were above the of-the youth*
κεφαλὴν ἰαμβεῖα Ἔρωτα λέγοντα τὸν γεγραμμένον
*head iambics Eros saying the(-one) painted*
εἶναι, τὸν ἐπὶ δίφρου καθήμενον, πάντων κρατοῦντα
*to-be the(-one) on (a)-seat seated all ruling*
βασιλικῶς. Ἐγὼ δ᾽ οὐ μόνον ἐκακολόγησα τὴν γραφήν,
*royally I and not only reviled the painting*
ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν Ἔρωτα σωφρόνως ἀπέσκωψα.
*but also at himself — Eros temperately jeered*
Ὁ δ᾽ ἐφίσταται διὰ νυκτὸς ὑπνουμένῳ μοι καὶ τὰ
*he and stands-over through (the)-night sleeping me and the(-things)*
μεθ᾽ ἡμέραν κατονειδίζει με· καὶ τέλος ἐμπίπτει μου τῇ ψυχῇ
*by day reproaches me and at-last falls-upon my the soul*
καὶ συνδουλογραφεῖ με τοῖς δούλοις αὐτοῦ, ἀντὶ κήρυκος,
*and enrolls-as-fellow-slave me with-the slaves his instead-of herald*
ἀντὶ παρθένου πρὸς ὅλον ἐραστὴν μεταπλάττων με· καὶ
*instead-of virgin to whole lover refashioning me and*
τῇ χειρί μου ταύτῃ τῇ δεξιᾷ τὴν Ὑσμίνην μοι ταυτηνὶ
*into-the hand my this the right — Hysmine to-me this-one-here*
παραθεὶς ἀπέπτη μου τῶν ὀφθαλμῶν, συμμεθελκυσάμενος
*having-placed flew-away from-my the eyes drawing-away-with(-him)*

καὶ τοὺς ὕπνους καὶ τὴν παρθενίαν καὶ τὸ κηρύκειον. Καὶ
*both the sleeps and the virginity and the herald's-staff and*
ἤμην ἐραστὴς ὁ κῆρυξ, καὶ ὁ παρθένος ἀπάρθενος. Ὅλην
*I-was (a)-lover the herald and the virgin unvirgin whole*
καταπορνεύων τὴν Ὑσμίνην καὶ ὀφθαλμοῖς καὶ γλώσσῃ καὶ
*debauching — Hysmine both with-eyes and with-tongue and*
νεύμασι, μεταπλάττω καὶ ταύτην εἰς Ἔρωτα. Καὶ οὕτως
*with-nods I-refashion also her into Eros and thus*
ἐξ Αὐλικώμιδος παλινοστῶ πρὸς Εὐρύκωμιν, ὅλῳ τῷ τῆς
*from Aulikomis I-return to Eurykomis by-whole the —*
Ὑσμίνης δουλογραφούμενος ἔρωτι· ἡ δ' ἀλλ' οὐδ' αὐτὴ καὶ
*of-Hysmine enrolled-as-slave love she and but not-even herself both*
πῦρ καὶ πτερὸν καὶ τόξον ἐξέφυγεν Ἔρωτος καὶ γλῶσσαν
*(the)-fire and (the)-wing and (the)-bow escaped of-Eros and (the)-tongue*
ἐμὴν πιθανολογοῦσαν ὅσα παιδεύουσιν Ἔρωτες.
*my persuading as-many-as(-things) teach (the)-Loves*
6 Ἤρων οὖν Ὑσμίνης (εἰ δ' ἀντηρώμην, αὕτη λεγέτω)
*I-loved then Hysmine whether and I-was-loved-in-return she let-her-say*
καὶ τὸν γάμον ἀλλήλοις ἐμνηστευόμεθα· ὃν κλέψαι θέλων
*and the marriage to-each-other we-were-pledging which to-steal wishing*
αὐτὸς (εἰρήσθω γὰρ τἀληθὲς) οὐ συνεχωρούμην τῇ κόρῃ.
*I let-it-be-said for the-truth not was-allowed by-the girl*
Σωσθένης οὗτος ὁ ταύτης πατὴρ ἐν μέσῃ τραπέζῃ καὶ
*Sosthenes this the her father in mid table and*
δείπνῳ πολυτελεῖ γάμον ἕτερον κηρύσσει τῆς θυγατρός,
*dinner costly marriage another proclaims for-the daughter*
ὃν ζητοῦμεν φυγεῖν, καὶ τῇ φυγῇ καθυπηρετεῖ Κρατισθένης
*which we-seek to-flee and the flight serves Kratisthenes*
καὶ ναῦς, ἧς ἐπιβάντες τῆς ἐμῆς ἀπέβημεν Εὐρυκώμιδος.
*and (a)-ship which having-boarded from-the my we-departed Eurykomis*
Εὐφόρου τυγχάνομεν πνεύματος καὶ χαίρομεν φεύγοντες.
*(a)-favorable we-meet wind and rejoice fleeing*

Ἀλλὰ κυκᾷ τὴν θάλασσαν Ποσειδῶν, ἴσα καὶ ὄρεσιν 7
*but stirs-up the sea Poseidon equal even to-mountains*
ἐγείρει τὰ κύματα, τὴν ναῦν καταδῦσαι φιλονεικεῖ, λύτρον
*raises the waves the ship to-sink strives (a)-ransom*
ὁ κυβερνήτης τυθῆναι νομοθετεῖ. Κληρούμεθα τοῦτο, καὶ
*the helmsman to-be-sacrificed decrees we-cast-lots-for this and*
ἦν ὁ κλῆρος ἐπὶ τὴν Ὑσμίνην πεσών. Ἐκσφενδονᾶται
*was the lot on — Hysmine having-fallen is-hurled*
τοίνυν ἐπὶ τὴν θάλασσαν, καὶ νηνεμίαν εὐθὺς τῇ
*therefore into the sea and calm at-once on-the*
θαλάσσῃ χαρίζεται. Τὸ δ' ἐφεξῆς ἀναβιοῦσαν ταύτην
*sea bestows the(-thing) and next revived her*
ὁρῶ, πῶς δ', οὐκ οἶδα νὴ τὸ φρικτὸν ἐκεῖνο κλυδώνιον,
*I-see how but not I-know by the dreadful that surge*
νὴ τὸν Ποσειδῶνα καὶ τὴν πικρὰν δουλείαν, νὴ τὸν
*by — Poseidon and the bitter slavery by —*
Ἀπόλλωνα καὶ τὸ τῆς ἐλευθερίας γλυκύ. Ἐγὼ δ' ὅλην
*Apollo and the of-the freedom sweet(-thing) I and whole*
τὴν ναῦν κατεκύκων τοῖς ὀδυρμοῖς καὶ τοῖς δάκρυσι
*the ship stirred-up with-the lamentations and with-the tears*
κατεπέκλυζον· ὃ μὴ φέρων ὁ κυβερνήτης μηδ' ὅλον τὸ
*flooded which not bearing the helmsman nor whole the*
ναυτικόν, μετάγουσι περὶ τὴν ψάμμον τὸ σκάφος καί με
*crew bring-over to the sand the vessel and me*
τῆς νεὼς ἀποτίθενται. Κἀγὼ δ' ὡς ἐν κενηρίῳ τῇ
*from-the ship put-off I-too and as at (a)-cenotaph on-the*
ψάμμῳ τὰς τῶν δακρύων χοὰς κατεσπενδόμην τῇ κόρῃ.
*sand the of-the tears libations poured for-the girl*
Καὶ τριήρης αἴφνης ἐφίσταται, πλήρης βαρβάρων, ἀγρίων 8
*and (a)-trireme suddenly comes-up full of-barbarian savage*
ἀνδρῶν, οἳ κατὰ θῆρας ἀπηνῶς μοι κατεπιτίθενται,
*men who like beasts harshly me set-upon*

ἀγρίως αὐτῶν ἐφέλκονταί με τῶν τριχῶν, εἰσάγουσι
*savagely (the)-very drag me by-the hair lead(-me)*
περὶ τὴν τριήρη καὶ τῇ κώπῃ παρακαθίζουσι. Καὶ μετὰ
*into the trireme and by-the oar seat(-me) and after*
δεῖπνον βαρβαρικὸν ἐκεῖθεν ἀπαίρουσι, κατεπιτίθενταί τινι
*(a)-dinner barbarian from-there set-sail set-upon some*
πολιχνίῳ, τοῦτο καταληίζονται καὶ σκύλων πληροῦσι
*small-town it plunder and with-spoils fill*
τὴν ναῦν. Τοὺς μὲν δὴ νεανίσκους ταῖς κώπαις
*the ship the indeed truly young-men to-the oars*
παρακαθίζουσι, τοὺς δ' ὑπεραναβεβηκότας αὐτοὺς ἔργον
*seat the and having-gone-beyond them (the)-work*
μαχαίρας τεθείκασι καὶ τῇ θαλάσσῃ παραδεδώκασιν (οὐκ
*of-(the)-sword they-have-made and to-the sea have-handed-over not*
εὐαρίθμητον γὰρ ὅσον ἐν ἀνθρώποις ἡ βάρβαρος χεὶρ
*easily-counted for as-much-as in men the barbarian hand*
ἐκ τοῦ πολιχνίου κατελήισατο), ὅσον δ' ἐν γυναιξίν,
*from the small-town plundered as-much-as and in women*
ἀκολάστως ἐχρήσαντο· ταῖς παρθένοις γὰρ οὐδὲ μέχρις
*licentiously used(-them) to-the maidens for not-even to*
ἁφῆς βαρβαρικῶς ἐνεανιεύσαντο.
*touch barbarously behaved-wantonly*

9 Καὶ οὕτω περὶ τὴν Ἀρτύκωμιν ἐγενόμεθα, καὶ τὸ
*and thus to — Artykomis we-came and the*
βάρβαρον βαρβαρικάς τινας σπονδὰς ἐσπείσατο τοῖς ἐξ
*barbarian(-host) barbarian some truce made with-those from*
Ἀρτυκώμιδος· καὶ οὕτω πλὴν ἀνθρώπων πᾶν ἐξεφορτώθη
*Artykomis and thus except (the)-people all was-unloaded*
τὸ λησθέν. Τὸ μὲν οὖν ἐν παρθένοις ἐξ
*the plundered(-thing) the(-portion) indeed then among maidens from*
ἀνθρώπων ἡμῶν ἠργυρολογήθη πολλοῦ, πρότερον τῇ
*(the)-people of-us was-sold-for-silver for-much before into-the*

τῆς Ἀρτέμιδος ἐμβεβλημένον πηγῇ· ἡμῶν δὲ νεανίσκων καὶ
— of-Artemis cast spring of-us but young-men and
γυναικῶν λόγος οὐδεὶς τοῖς ἐξ Ἀρτυκώμιδος. Καὶ πάλιν
women account none for-those from Artykomis and again
ἡ τριήρης εἶχεν ἡμᾶς, ἣν λύσαντες τοῦ λιμένος ἐξάγομεν
the trireme had us which having-loosed from-the harbor we-bring-out
καὶ πρὸς λιμένα μετάγομεν ἕτερον, ὅπου τὸ βάρβαρον
and to (a)-harbor bring-over other where the barbarian(-host)
τὴν τριήρη τοῖς πείσμασι καταπηξάμενον περὶ τὴν
the trireme with-the cables having-made-fast on the
ἤπειρον γέγονε καὶ τὰς γυναῖκας συμμεθειλκύσατο. Μετὰ
mainland went and the women drew-along-with(-them) after
γοῦν δὴ πολυτελεῖς τινας τροφὰς καὶ πόσεις, ἃς ἐξ
at-any-rate indeed costly some foods and drinks which from
Ἀρτυκώμιδος ἡ τριήρης εἶχε πολλάς, ἀσέμνως ταῖς γυναιξὶ
Artykomis the trireme had many indecently the women
τὸ βάρβαρον κατεχρήσατο καὶ τοῖς ὕπνοις ἐσπείσατο,
the barbarian(-host) abused and to-the sleeps made-libation
καταβεβακχευμένον καὶ οἴνῳ καὶ ἔρωτι. Ἐν μέσοις τούτοις
frenzied both with-wine and with-love in mid these
ὕπνοις καὶ ἔρωσιν ἢ μᾶλλον ἀκολάστῳ γνώμῃ βαρβαρικῇ
sleeps and loves or rather licentious mind barbarian
τὸ τῆς Δαφνηπόλεως ταύτης ἐφίσταται στρατιωτικόν,
the — of-Daphnepolis this comes-up soldiery
ὑπνοῦσι τοῖς βαρβάροις κατεπιτίθεται, συνέχει τούτους,
sleeping the barbarians attacks holds them
σφάττει, καταληίζεται καὶ ἡμᾶς αὐτοῖς συλληίζεται. Ἐπὶ
slaughters plunders and us with-them plunders-together for
δὴ τούτοις καὶ ἐφ' ἡμῖν ἐν μέσῃ ταύτῃ τῇ πόλει πομπεύει
indeed these and for us in mid this the city parades
τὸ στρατιωτικὸν καὶ τέλος ἡμᾶς χρησμῷ καταδουλοῦται
the soldiery and at-last us by-oracle enslaves

καὶ κλήρῳ καταμερίζεται. Δουλογραφοῦμαι πάλιν ἐγώ,
*and by-lot divides-up am-enrolled-as-slave again I*
καὶ δούλειος καλεῖ με ζυγὸς ἐς ταυτηνὶ τὴν Δαφνήπολιν.
*and slavish calls me (the)-yoke to this-here — Daphnepolis*
Ἀλλ' ἥκει καιρὸς ὁ παρών, καιρὸς Ἀπόλλωνος ἑορτῆς,
*but comes (the)-season the present (the)-season of-Apollo of-(the)-feast*
καὶ λαμπρὰ τελετὴ τὰ τῆς ἑορτῆς καὶ πανήγυρις.
*and brilliant rite the(-things) of-the feast and festival*
Κληροῦται κήρυξι τὸ κηρύκειον, καὶ δεσπότης ἐμὸς
*is-allotted to-heralds the herald's-staff and master my*
ὁ χθές μοι τὸν τῆς ἐλευθερίας διαρρηξάμενος
*the(-one) yesterday from-me the of-the freedom having-rent*
στέφανον κῆρυξ ἐς Ἀρτύκωμιν στέλλεται. Γίνεται περὶ
*garland herald to Artykomis is-sent comes to*
τὴν κληρωθεῖσαν· ἕπομαι τῷ δεσπότῃ κατὰ δοῦλον ἐγώ.
*the(-city) allotted I-follow the master as (a)-slave I*
Φιλοφρονούμεθα τῷ Σωστράτῳ, τῷ τῆς Ῥοδόπης πατρί,
*we-are-welcomed — by-Sostratos the — of-Rhodope father*
τῷ χθὲς ἀφελομένῳ τὸν τῆς Ὑσμίνης στέφανον. Ταύτης
*the(-one) yesterday having-taken-away the — of-Hysmine garland of-this*
δὴ τῆς Ῥοδόπης δούλην τὴν Ὑσμίνην ὁρῶ, τὸν ἀδελφὸν
*indeed — Rhodope (a)-slave — Hysmine I-see the brother*
ὑποκρίνομαι· ἡ δ' ὅλην μου τὴν ἀδελφὴν κατασχηματίζεται,
*I-play she and wholly my the sister puts-on-the-guise-of*
καὶ φιλοῦμεν ὁρώσης καὶ Ῥοδόπης αὐτῆς. Εἰ δ' ἐρᾷ μου
*and we-kiss seeing(-us) even Rhodope herself whether and loves me*
Ῥοδόπη καὶ τὴν ἐμὴν ἀδελφὴν ταύτην Ὑσμίνην καὶ δούλην
*Rhodope and the my sister this Hysmine and slave*
αὐτῆς ὑπηρέτιν ἔχει πρὸς ἔρωτα, Ὑσμίνη λεγέτω. Τὰ
*her (as)-servant has for love Hysmine let-her-say the(-things)*
δὲ περὶ τὸν βωμὸν σὺ μᾶλλον οἶδας ἡμῶν ἀκριβέστερον,
*and at the altar you rather know than-us more-exactly*

τὰ τῶν μητέρων δάκρυα, τὴν τῶν πατέρων γλῶσσαν
*the of-the mothers tears the of-the fathers tongue*
ἐλεεινολογουμένην τὰ καθ᾽ ἡμᾶς, τὸν χρησμόν, τὴν
*lamenting the(-things) concerning us the oracle the*
τῶν παίδων ἀνεύρεσιν, τὸν τῆς ἐλευθερίας στέφανον, τὴν
*of-the children finding the of-the freedom garland the*
στεφάνωσιν, τὴν ἀποστεφάνωσιν, τὴν σὴν μακαρίαν ἐκείνην
*crowning the uncrowning the your blessed that*
φωνήν, τὸν τῆς ἐλευθερίας ἡμέτερον στέφανον, καὶ τἆλλ᾽
*voice the of-the freedom our garland and the-rest*
ὁπόσα περὶ τὸν μέγαν τοῦτον τῆς ἐλευθερίας βωμόν.”
*as-many-as(-things) at the great this of-the freedom altar*
Ταῦτ᾽ εἰπόντι “χαίροις” ὁ ἱερεύς μοί φησι καὶ 11
*these(-things) to-(me)-having-said may-you-rejoice the priest to-me says and*
πρὸς τὴν Ὑσμίνην μετάγει τοὺς ὀφθαλμοὺς “παρθένε”
*to — Hysmine turns the eyes maiden*
λέγων “Ὑσμίνη, τὰ μὲν δὴ περὶ τουτονὶ τὸν
